F. 545. Κλαυδίου Πτολεμαίου τοῦ μεγάλου πῶς δεῖ τὰς ἀκριβεῖς περιοδικὰς Ἡλίου καὶ Σελήνης συζυγίας ἐπισκέπτεσθαι· ἡ δὲ μέθοδος ἀπὸ τῶν ἐν τῇ Συντάξει εἰρημένων ἐξετέθη κατὰ πλάτος διὰ τοῦ σοφοῦ Μελιτινιώτου. Excerpta astronomica cum exemplis et scholiis [excerpta sunt ex Theodori Melitiniotae tribiblo P. II, f. 294-306, huius codicis (Usener)].

F. 555. Exempla proferuntur scriptoris ipsius libri ab anno ,ϛϡιγ' (1404 p. C. n.) usque ad annum ,ϛϡκ' (1412). — Item f. 557v legitur : Συνοδικὴ συζυγία τοῦ ,ϛϡκ' ἔτους σεπτεμβρίου ιη', et f. 559 : Πανσεληνιακὴ συζυγία τοῦ ,ϛϡκ' ἔτους ὀκτωβρίου λα'. Sequuntur aliae plurimae computationes ad eundem annum ,ϛϡκ' pertinentes. — F. 583 incipiunt computationes anni ,ϛϡκα' (1413 p. C. n.). — F. 586v subscriptio rubro pigmento : Ἕως ὧδε βλέπε καὶ ἐξέταζε τὰς ψηφοφορίας, εἰ θέλεις φιλοπόνως ἀνερευνᾶν καὶ ἀνευρίσκειν τὴν ἀκρίβειαν διὰ πλειόνων ὑποδειγμάτων· τὰ δὲ πλείω τούτων εἰσὶ περιττά· ἐδισσεύθησαν γὰρ ἀκριβέστερον ἐν τοῖς ὄπισθεν μεταγραφέντα. — Sequitur (f. 587 sqq.) : Ψηφιφορία τῆς ἐκλείψεως τῆς Σελήνης τῆς γενομένης σεπ(τεμβρίου) β' νυκτὸς ὥρᾳ ϛ' τοῦ ,ϛϡκ' ἔτους (1412 p. C. n.). — F. 591. Ψηφοφορία ἐκλείψεως τοῦ Ἡλίου κατὰ τὸ ,ϛϡκ' (1412) ἔτος μηνὶ φευ(ρουαρίου) ιβ' ὥρᾳ μετὰ μεσημβρίαν ε' ϛ', etc., aliaeque computationes usque ad finem libri, f. 598v.

22. Codex Vaticanus graecus 1314. — Chartaceus, cm. 20 × 14,5, ff. 280 (ultima decem vacua), saec. XV. — Supra indicem huius codicis fol 1r legimus : Τοῦ πολυΐστορος ἄρχοντος Ἀλβέρτου Πίου κτῆμα. Fuit quondam in bibliotheca Georgii Vallae, deinde Fulvii Ursini. — Cf. P. de Nolhac, ***La bibliothèque de Fulvio Orsini***, p. 167 seq.

Post indicem latinum sequuntur varia opuscula, ex quibus haec notamus :

F. 17. Τοῦ λογιωτάτου καὶ σοφωτάτου Ψέλλου ἑρμηνεία περὶ ὑετοῦ καὶ πάχνης καὶ χιόνος καὶ χαλάζης ἀστραπῶν τε καὶ κεραυνῶν καὶ βροντῶν καὶ δρακόντων. — Cf. Cod. German. 7, f. 25. — Simillimum capitulum edidit N. Polites, Δημώδεις μετεωρολογικοί, Athen. 1880, p. 6 seq.; cf. K. Krumbacher, *Gesch. der Byzant. Litteratur²*, p. 442.

F. 20r. Ἀριστοτέλους πρὸς Ἀλέξανδρον σύνοψις φιλοσοφίας περὶ κόσμου.

F. 215v. Ὀρφέως περὶ σεισμῶν. — Cf. cod. Mediol. 5, f. 100.

23. Codex Vaticanus graecus 1347. — Chartaceus, cm. 22,5 × 16, f. 244, saec. XVI. — Ab ipso Fulvio Ursino scriptus. — Cf. P. de Nolhac, *La bibliothèque de Fulvio Orsini*, p. 186.

F. 214v. Ἑρμοῦ τοῦ Τρισμεγίστου, ἐν ἄλλῳ Ὀρφέως, περὶ σεισμῶν. — Cf. cod. Mediol. 5, f. 100.

F. 215v. Ἐμπεδοκλέους εἰς τοὺς ζ' πλανήτας καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη. — Cf. infra, cod. 25, f. 76v.
Εἰς Πτολεμαῖον (Γαίης ἐν νώτοισιν ὀχούμενος — τέρμα λαχούσας).

F. 216v. Σιβύλ<λης> εἰς τὸν .... [spatium septem fere litterarum in codice] ἡρωικοί (α'. Εἰμὶ δ' ἐγὼ θεός — τῆς παρ' ἐμοῦ σοφίης). Id carmen habet acrostichidem αυγερινος. Sequuntur deinde hi versus :

Ὁ Γαζῆς.

Καὶ χρήμαθ' ἃ λόγος ἄνακτι τῷ Λυδίας νέμει,
Φιλέλφος ὁ σοφὸς οὐδὲν οἰόμενος μέγα
πρὸς κτῆσιν αὐτὴν παντοδαπῶν γε πυκτίδων [πυκτίων cod.]
πολλ' ἄλλα πάνυ γε, καὶ τόδε ἔχων τυγχάνει
χειρὶ γραφὲν τῇ Χρυσοκόκη τε καὶ ἐμῇ.

24. Codex Vaticanus graecus 1379. — Chartaceus, cm. 22,5 × 16,6, ff. 115, diversis manibus saeculo XV scriptus. — Videtur hic codex ex tribus vel potius quinque fasciculis compactus esse. — Ex bibliotheca Fulvii Ursini. — Cf. P. de Nolhac, *La bibliothèque de Fulvio Orsini*, p. 151.

F. 1. Theocritus.

F. 2. Babrii tetrasticha.

F. 32. Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ σεισμῶν· ἐν ἄλλῳ Ὀρφέως (Φράζεο δὴ καὶ τόνδε λόγον — ἂν ἄστεα καὶ κατὰ χώρας). — Cf. cod. 23, f. 214v.

F. 33 Εὐκλείδου γεωμετρικόν (Ἡμίονος καὶ ὄνος φορέουσαι οἶνον — ἄριστε γεωμετρίης ἐπιίστορ).

F. 35. Callimachi hymni.

F. 59. Κανονίσματα πάνυ ἀναγκαῖα ῥημάτων ὡς ἐπὶ τὸ πολὺ ἐμφερομένων παρά τε ποιηταῖς καὶ ῥήτορσιν.

F. 104v. Excerpta ex Hyperide et Dinarcho.

F. 111. Ἐπιστολὴ Πετοσίρεως φιλοσόφου πρὸς τὸν Νεχεψῶ βασιλέα (Περὶ τῶν κατακλινομένων ἐν ἀρρωστίαις — ἡ πέμπτη Διός). Cum figura. — Cf. Olivieri, *Catal.*, IV, p. 120 ss. et *Revue critique*, 1903, II, p. 126.

F. 112v. Ψῆφος διαγνωστικὴ ζωῆς καὶ θανάτου (Μάθε πότε κατεκλίθη ὁ ἄρρωστος — ζωὴ σκόπος ὑπὲρ γῆν). Cum 5 figuris.

25. Codex Vaticanus graecus 1384. — Chartaceus, cm. 22 × 15,5, ff. 80, totus fere una manu saec. XV scriptus (an. 1466). — Ex bibliotheca Fulvii Ursini. — Cf. P. de Nolhac, *La bibliothèque de Fulvio Orsini*, p. 150, adn. 2.

Post Phocylidem, Orphei Argonautica, Hesiodi Opera et Dies (cum commentario Ioannis Tzetzae) legitur in margine: τέλος ,αδξϛ' (*sic* codex, l. ,αυξϛ' = 1466 [Nolhac]) ιε' ἰουλίου.

F. 76v. Στίχοι εἰς τοὺς ἑπτὰ πλανήτας. In margine manus altera adscripsit: Εἰς τοὺς ζ' [δώδεκα expuncto librarius correxit ζ'] πλανήτας καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη· Ἐμπεδοκλέους. — Edidit Cougny, *Anthol. Palat.*, III, p. 314. Cf. cod. Mediol. 5, f. 100.

F. 77. Στίχοι εἰς τὰ δώδεκα ζῴδια (♈ Κριὸς προηγός ἐστιν — δήλωσιν ἰχθύων γένους). — Cf. cod. Ital. 14, f. 2v. Editum ibid., p. 239.

F. 77v. Ἕτεροι στίχοι εἰς τοὺς δώδεκα μῆνας (Ἰαννουάριος· θηρατικός τίς εἰμι — Δεκέμβριος χειμῶνος ἀρχὴν καὶ συῶν σφαγὰς ἄγω). — Cf. *Catal.*, III, p. 6 (cod. Mediol. 7, f. 147v); B. Keil, *Wiener Studien*, XI, 1889, p. 117.

APPENDIX

EXCERPTUM EX CODICE 17 (VATIC. 216)

[F. 13v.] Τῶν ἑπτὰ οὐρανῶν ὁ ἀκριβασμὸς καὶ τὰ μέταλλά εἰσιν οὕτως[1].

Ὁ μὲν οὐρανὸς ὁ ὁρώμενος, ὃς ὀνομάζεται καὶ στερέωμα, ὃς καὶ διαχώρισις ἀνὰ μέσον ὕδατος, ἐστὶν οὗτος ὁ ὁρώμενος παρ' ἡμῶν· τὸ δὲ λέγει « οἱ οὐρανοὶ τῶν οὐρανῶν » καὶ « τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν »· ἐστὶν οὗτος ἀψῖδας ἐπιφέρων ἑπτὰ ἤγουν καμάρας, ἐν ᾧ καὶ ὁ θεῖος Παῦλος ἕως τρίτου οὐρανοῦ ἀνῆλθεν, οὐχὶ δὲ ὥς φασί τινες, ὅτι τὸ τρίτον τοῦ οὐρανοῦ ἀνέβη — μὴ γένοιτο —, ἀλλὰ τρεῖς οὐρανούς· εἰ δὲ θέλεις κατανοῆσαι τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, σκόπει τί λέγει « ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ »· σκόπει δὲ καὶ τοῦ ποιητοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ τῶν ἰαμβικῶν λέγοντος· ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα καὶ θαλάσσας [f. 14] ἀναχαιτίζουσα θεοῦ σοφία ὕδωρ νιπτῆρι βάλλει· τὰ δὲ ὑπερῷα λέγεται τὰ ὑπεράνω τῶν οὐρανῶν· φησὶ καὶ ὁ Δαυῒδ φάσκων· « ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν », καὶ ὅτε ἐφώνησεν « οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός »…..

V = Vatic. gr. 216, f. 13v; B = Berol. Phillipp. 1565, f. 181r (contulit Iohannes Mewaldt). 1 μέταλα V. 3 καὶ ὀνομάζεται στ. codd. ὃς] ὁ codd. στερέωμα] cf. Ioh. Damascenus, *De fide orthod.*, II, 160 (Migne, *Patr. Gr.*, XCIV, p. 880 B et 884 B. 4 διαχώρισις] ἀναχώρησις V, ἀναχώρησιν B. ὕδατος καὶ ὕδατος codd. 6 ἀψῖδας] cf. Suid. s. v. ψαλίδα et quae ibi adnotavit Bernhardy. καμάρας] cf. Ioh. Damasc., l. c., p. 884 A (Isai. XL, 22). 7 ἕως τρίτον οὐρανόν codd. correxi. Cf. 2 Cor. 12, 2 et Ioh. Damasc., p. 880 B. 9 εἰ θέλεις δέ V. 10 ὁ στεγάζων … αὐτοῦ. Ps. 103 (104), 3. 11 λέγοντος] λέγων V, λέγει B. 13 θαλλαλάσσας B. 13-14 ὕδωρ νιπτῆρι βάλλει om. V. 15-16 ἡμέρα … γνῶσιν] Ps. XVIII (XIX), 2. 16 καὶ ὅτε B, ἔστιν ὅτε V. 16-17 οὗτος … ἀγαπητός] Matth. 3, 17.

[1] De toto argumento conferas Ioh. Damascenus, *De fide orthodoxa*, II, 160-163 (Migne, *Patr. Gr.*, XCIV, p. 880-886) ex quo hoc capitulum excerptum esse videtur ab homine haud erudito. Altera pars huius capituli, quae erat de metallis, in codicibus excidit.

EXCERPTA EX CODICE 20 (Vatic. 1056)

[F. 44v.] ιβ'. Περὶ τοῦ ἐπιγνῶναι ἀπὸ τῆς σκιᾶς τοῦ ἀνθρώπου διὰ τῶν ποδῶν αὐτοῦ, ποία ὥρα ἐστί[1].

Διονύσιος Φιλίππῳ τῷ βασιλεῖ χαίρειν. Ἰδών σε φιλοτιμούμενον ἐκμαθεῖν τὰς τῶν ὡρῶν κινήσεις, ἐξ ὅσων ποδῶν συνέστηκεν ἡ ἡμέρα κατὰ μῆνα ἕκαστον, ἐπειράθην δηλῶσαι σοι μετὰ πολλῆς ἀκριβείας, ὅπως σαφές σοι γένηται· σημειοῦσθαι σε δεῖ τὰς ὥρας τὴν ἰδίαν σου σκιὰν μετροῦντα τοῖς ἑαυτοῦ ποσί, σημεῖον ποιοῦντα τῆς ἑαυτοῦ σκιᾶς ὅπου ἂν τύχῃ τὸ τῆς κεφαλῆς σου ἄκρον, ἐπιβαίνοντα ἕνα παρ' ἕνα πόδα· πλεονάζει δὲ ἡ μὲν πρώτη ὥρα τῆς δευτέρας πόδας δέκα, ἡ δὲ δευτέρα τῆς τρίτης πόδας τέσσαρας, ἡ δὲ τρίτη τῆς τετάρτης πόδας τρεῖς, ἡ δὲ τετάρτη τῆς πέμπτης πόδας δύο, ἡ δὲ πέμπτη τῆς ἕκτης πόδα ἕνα, αἱ δὲ λοιπαὶ ἀνάπαλιν πρὸς τὰς γεγραμμένας ποιοῦσιν·

V = cod. Vatic. gr. 1056, f. 44v + 65r; A = cod. Ambros. gr. 325 (F. 12 Sup.), f. 304-305v; P = cod. Paris. gr. 854, f. 196v seq. (conf. Cramer, ***Anecd. Graeca Paris.***, I, p. 381 et G. Bilfinger, ***Die Zeitm. d. ant. Völker*** (***Progr. Gymn. Stuttg.***), 1886, p. 67. 1-2 Titulum om. AP. 3 Διονύσιος - χαίρειν] Θεόδωρος Θεοφίλῳ χαίρειν A, ... τὴν ἐπιστολὴν αὐτὴν ἐκθετέον ὡς ἔχει λέξεων πρὸς περισσοτέραν σαφήνειαν, ἣν Θεόδωρός τις πρὸς Θεόφιλον ἐκδέδωκε συνάμα καὶ τῇ διαγραφῇ· ἔχει δὲ ὧδε· P (Bilfinger, p. 67). εἶδον V, εἰδώς A. 4-5 ἡ ἡμέρα - ἕκαστον] κατὰ μῆνα ἑκάστη ἡμέρα A, κατὰ μῆνα ἕκαστον ἑκάστη τῆς ἡμέρας ὥρα P. μετὰ πολλῆς ἀκριβείας om. V. 6 ὅπως σαφές σοι γένηται] ὅπως μηδὲ τοῦτο [τούτου P] ἄπειρος ᾖς AP. σε om. V, δεῖ σε τοιγαροῦν σημειοῦσθαι οὕτως ... P. 7 μετροῦντα τὴν ἑαυτοῦ σκιὰν τοῖς ἰδίοις ποσίν P. 7-8 σημεῖον - ἄκρον om. P. ποιῶν V. τῆς αὐτοῦ σκιᾶς A. 8 ὅπου ἐάν V. εἶναι post τύχῃ add. V. σου om. A. ἐπιβαίνοντι V, ἐπιβένον A, ἐν τῷ μετατιθέναι P. 9 post πόδα add. P ἕως τοῦ τόπου ἔνθα ἔτυχε τὸ ἄκρον τῆς κεφαλῆς σου ἐν τῷ ἵστασθαι σε ὀρθὸν καταντῆσαν διὰ τῆς σκιᾶς. πλεονάζει δέ om. A, ἐπὶ πάντων δὲ ὁμοίως τῶν καιρῶν καὶ τῶν μηνῶν ὑπερέχει P. 10 δέ ante δευτέρα om. A. δέ ante τρίτη om. AP. δέ ante τετάρτη om. AP. 11 δέ ante πέμπτη om. A, καὶ ἡ πέμπτη P. 11-12 αἱ δὲ ἐφεξῆς ἀνάπαλιν ἕως τῆς ἑνδεκάτης καὶ αὐτῆς P. 12 post ἀνάπαλιν add. AP ἡ γὰρ δωδεκάτη εἰς ὕψος οὖσα σκιὰν (πόδα P) οὐκ ἔχει. 12-p. 77, 6 πρὸς τὰς γεγραμμένας - τὴν ἀπόδειξιν om. A.

[1] Cf. simillimam Sexti τοῦ ὡροκράτορος ad regem Philippum quomodo horae ad corporis umbram dimetiantur epistulam, quam Franciscus Boll, *Catal.*, t. VII, pp. 188-190 edidit.

ἰσομερεῖ δὲ ἡ μὲν ἑβδόμη τῇ πέμπτῃ, ἡ δὲ ὀγδόη τῇ τετάρτῃ, ἡ δὲ ἐννάτη τῇ τρίτῃ, ἡ δὲ δεκάτη τῇ δευτέρᾳ, ἡ δὲ ἑνδεκάτη τῇ πρώτῃ· τῆς γὰρ δωδεκάτης πληρουμένης ὥρας δύνει ὁ Ἥλιος· τῶν δὲ ἐσχάτων ὡρῶν πλείους παρατήρει τοὺς πόδας.

Τὸ δὲ κανόνιον τῶν ποδισμῶν τοῦ ἐνιαυτοῦ ἐστι τοῦτο κατὰ μῆνα ἕκαστον σαφῆ ἔχον τὴν ἀπόδειξιν.

Μὴν Ἰαννουάριος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ι′ καὶ ἡ νὺξ ὥρας ιδ′. Μὴν Δεκέμβριος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας θ′ καὶ ἡ νὺξ ὥρας ιε′ τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κη′	ὥρα β′	πόδας ιη′
ὥρα γ′	πόδας ιδ′	ὥρα δ′	πόδας ια′
ὥρα ϵ′	πόδας θ′	ὥρα ς′	πόδας η′
ὥρα ζ′	πόδας θ′	ὥρα η′	πόδας ια′
ὥρα θ′	πόδας ιδ′	ὥρα ι′	πόδας ιη′.
ὥρα ια′	πόδας κη′.		

Μὴν Φεβρουάριος ἔχει ἡμέρας κη′, ἡ ἡμέρα ὥρας ια′ καὶ ἡ νὺξ ὥρας ιγ′. Μὴν Νοέμβριος ἔχει ἡμέρας λ′, ἡ ἡμέρα ὥρας ι′ καὶ ἡ νὺξ ὥρας ιδ′, τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κζ′	ὥρα β′	πόδας ιζ′
ὥρα γ′	πόδας ιγ′	ὥρα δ′	πόδας ι′
ὥρα ϵ′	πόδας η′	ὥρα ς′	πόδας ζ′
ὥρα γ	πόδας η′	ὥρα η′	πόδας ι′
ὥρα θ′	πόδας ιγ′	ὥρα ι′	πόδας ιζ′.
ὥρα ια	πόδας κζ′.		

Μὴν Μάρτιος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ιβ′ καὶ ἡ νὺξ ὥρας ιβ′. Μὴν Ὀκτώβριος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ια′ καὶ ἡ νὺξ ὥρας ιγ′, τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κϵ′	ὥρα β′	πόδας ιϵ′
ὥρα γ′	πόδας ια′	ὥρα δ′	πόδας η′
ὥρα ϵ′	πόδας ς′	ὥρα ς′	πόδας ϵ′
ὥρα ζ′	πόδας ς′	ὥρα η′	πόδας η′
ὥρα θ′	πόδας ια′	ὥρα ι′	πόδας ιϵ′.
ὥρα ια′	πόδας ιϵ′.		

Μὴν Ἀπρίλλιος ἔχει ἡμέρας λ′, ἡ ἡμέρα ὥρας ιγ′ καὶ ἡ νὺξ ὥρας ια′. Μὴν Σεπτέμβριος ἔχει ἡμέρας λ′, ἡ ἡμέρα ὥρας ιβ′ καὶ ἡ νὺξ ὥρας ιβ′, τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κδ′	ὥρα β′	πόδας ιδ′
ὥρα γ′	πόδας ι′	ὥρα δ′	πόδας ζ′
ὥρα ϵ′	πόδας ϵ′	ὥρα ζ′	πόδας δ′
ὥρα ζ′	πόδας ϵ	ὥρα η′	πόδας ζ′

1-p. 78, 20 Tolam tabulam om. P. 1-3 Μὴν Ἰαννουάριος - μηνῶν] Ἰαννουάριος καὶ Δεκέμβριος A. 10-12 Φευρουάριος καὶ Νοέμβριος A. 19-21 Μάρτιος καὶ Ὀκτώβριος A. 28-30 Ἀπρίλλιος καὶ Σεπτέμβριος A. 36-42 om. V.

ὥρα θ′	πόδας ι′	ὥρα ι	πόδας ιδ.
ὥρα ια′	πόδας κδ′.		

[F. 65] Μὴν Μαΐος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ιδ′ καὶ ἡ νὺξ ὥρας ι′. Μὴν Αὔγουστος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ιγ′ καὶ ἡ νὺξ ὥρας ια′, τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κγ′	ὥρα β′	πόδας ιγ′
ὥρα γ′	πόδας θ′	ὥρα δ′	πόδας ϛ′
ὥρα ε′	πόδας δ′	ὥρα ϛ′	πόδας γ′
ὥρα ζ′	πόδας δ′	ὥρα η′	πόδας ϛ′
ὥρα θ′	πόδας θ′	ὥρα ι′	πόδας ιγ.
ὥρα ια′	πόδας κγ′.		

Μὴν Ἰούνιος ἔχει ἡμέρας λ′, ἡ ἡμέρας ὥρα ιε′ καὶ ἡ νὺξ ὥρας θ′. Μὴν Ἰούλιος ἔχει ἡμέρας λα′, ἡ ἡμέρα ὥρας ιδ′ καὶ ἡ νὺξ ὥρας ι′, τῶν αὐτῶν μηνῶν

ὥρα α′	πόδας κβ′	ὥρα β′	πόδας ιβ′
ὥρα γ′	πόδας η′	ὥρα δ′	πόδας ε′
ὥρα ε′	πόδας γ′	ὥρα ϛ′	πόδας β′
ὥρα ζ′	πόδας γ′	ὥρα η′	πόδας ε′
ὥρα θ′	πόδας η′	ὥρα ι′	πόδας ιβ′.
ὥρα ια′	πόδας κβ′.		

[F. 50.] κδ′. Περὶ τοῦ γνῶναι τὴν ἐρώτησιν καθώς φησιν ὁ Ἀνεμπόδιστος[1].

Ἐὰν ἐρώτησις παρά τινος γένηται κατὰ τὴν νύκτα, ἰδὲ πρῶτον τὰ ζῴδια, εἰς ἃ ἡ Σελήνη οὐκ ἔχει δύναμιν ἅτινά εἰσι Κριός, Δίδυμοι, Λέων, Ζυγός, Τοξότης καὶ Ὑδροχόος· καὶ ἐάν ἐστιν ἡ Σελήνη ἐν ἑνὶ τῶν τοιούτων ζῳδίων ἢ ὁ ὡροσκόπος ἢ οὐκ ἔστιν ἡ Σελήνη ἐν τόπῳ καλῷ ἢ οὐχ ὁρᾶταί τινι τῶν οἰκοδεσποτῶν τῶν τοιούτων ζῳδίων διὰ τριγώνου ἢ τετραγώνου ἢ ἑξαγώνου ἢ διαμέτρου σχήματος, μὴ χρῆσθαι ταύτῃ σημειωτικῇ τῆς ὑποθέσεως· ἐκ γὰρ τοῦ σημειωτικοῦ ἀστέρος ἡ ἐρώτησις ἐπιγινώσκεται· εἰ δὲ εὑρεθῇ ἡ Σελήνη ἐν τόπῳ καλῷ καὶ σχηματίζῃ ὡς εἴρηται, χρήσω ταύτῃ σημειωτικῇ τῆς ὑποθέσεως.

Εἰ δὲ ἐρωτηθῇς κατὰ τὴν ἡμέραν, ἰδὲ τὸ ὡροσκοποῦν ζῴδιον· καὶ ἐάν ἐστιν οἶκος Ἡλίου ἢ ὕψωμα ἢ τρίγωνον αὐτοῦ ἢ ἐὰν ὡροσκοπῇ ἡ

3-5 Μάιος καὶ Αὔγουστος A. 12-14 Ἰούνιος καὶ Ἰούλιος A. 27 ὁρᾶται] ὁρᾶ cod. correxi. 28 χρῆσθαι] χρήσεται cod. 29 ταύτην σημειωτικήν cod. 32 ἐρωτηθείς cod.

[1] De Anempodisto nihil compertum habemus. Cognomen ioculare esse (« Spitznamen »), quod non inveniatur ante decimum tertium quartumve p. Chr. n. saeculum, K. Krumbacher me interrogantem docuit.

μοῖρα, εἰς ἣν ὁ Ἥλιός ἐστιν (ἣν δὲ ὁ Ἥλιος ἐν ἀρρενικῷ ζῳδίῳ), αὐτὸν τὸν Ἥλιον λάβε σημειωτικὸν τῆς ὑποθέσεως· ἐξ αὐτοῦ γὰρ ἐπιγινώσκεις τὴν ἐρώτησιν.

Εἰ δὲ οὐκ ἔστι τοιοῦτόν τι, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν ὑψοκράτορα καὶ ὁριοκράτορα καὶ τὸν κύριον τοῦ δεκανοῦ τοῦ ὡροσκόπου καὶ τοὺς τριγωνοκράτορας τοῦ ὡροσκόπου καὶ οἷον ἐξ αὐτῶν εὕρῃς δυνατώτερον καὶ εἰς κρείττονα ὄντα τόπον καὶ <οἷος> ὁρᾷ τὸν ὡροσκόπον, λάβε αὐτὸν σημειωτικόν. Ἰδὲ οὖν καὶ τὸν διέποντα, ἐπεὶ καὶ αὐτὸς μεγίστην πρὸς τὴν ἐρώτησιν ἔχει δύναμιν καὶ διὰ τοῦτο οὔτε αὐτοῦ δεῖ καταφρονῆσαι, οὔτε τοῦ τόπου, ἔνθα ἐστίν. ἐπιγνωσθήσεταί σοι γὰρ καὶ ἐκ τούτου ἡ ἐρώτησις. Ἀλλὰ μηδὲ τὴν ἀπόρροιαν, ἣν ποιεῖται ἡ Σελήνη ἀπὸ τῶν ἀστέρων παραβλέψῃς, καὶ μᾶλλον εἰ ἔχουσιν οἰκείαν δύναμιν οἱ τοιοῦτοι ἀστέρες καὶ εὑρεθῶσιν ἐν δυνατοῖς τόποις· μεγάλως γὰρ καὶ τοῦτο πρὸς τὴν ἐρώτησιν συμβάλλεται.

Ἰδὲ οὖν καὶ τὸν κλῆρον τῆς Τύχης ἐν ποίῳ πέπτωκε τόπῳ τοῦ θέματος, πρὸς δὲ <τούτοις> καὶ τὸν κύριον αὐτοῦ ἐν ποίῳ τόπῳ ἐστίν· ἐπιγνωσθήσεται γάρ σοι καὶ ἐκ τούτων ἡ ἐρώτησις. Ἐὰν οὖν ἐκ τοῦ κλήρου τῆς Τύχης ἐπιγνωσθῇ σοι ἡ ἐρώτησις, ἀπὸ τοῦ οἰκοδεσπότου αὐτῆς ἐπιγνωσθήσεταί σοι τὸ ἀποτέλεσμα τῆς ὑποθέσεως.

Ἰστέον καὶ τοῦτο ὅτι ἐὰν ὁ κύριος τοῦ κλήρου τῆς Τύχης ἐναντιωθῇ τῷ κλήρῳ τῆς Τύχης πεσούσης αὐτῆς ἐν τῷ γ' ζῳδίῳ, λέγε ὅτι πρὸς φίλον ἔχθραν ἕξει· εἰ δὲ δίσωμον τύχῃ τὸ ζῴδιον τοῦ κλήρου τῆς Τύχης, καὶ ἤδη προγεγενημένην ἢ καὶ αὖθις ἐσομένην λέγε.

Ὁ δὲ κλῆρος τῆς Τύχης δηλώσει τὰ πρόσωπα. Ὁ μὲν τοῦ Κρόνου σημαίνει πρεσβυτικά, ὁ δὲ τοῦ Διὸς ἀξιωματικὰ ἀγαθά, ὁ δὲ τοῦ Ἄρεως θρασεῖς, στρατιωτικούς, ὁ δὲ Ἥλιος βασιλικὰ καὶ ἡγεμονικά, ἡ δὲ Ἀφροδίτη χαρίεντας ἢ μουσικοὺς ἢ θηλυκά, ὁ δὲ τοῦ Ἑρμοῦ εὐπαίδευτα, πολύτροπα, ἐμπορικά, καὶ ἡ Σελήνη προβεβηκότα, θηλυκά.

[F. 71v.] ιγ'. Περὶ εὐτοκίας καὶ δυστοκίας, καθὼς Δωρόθεος.

Ἐπὶ μὲν ἀρρενικῆς γενέσεως τὰ φῶτα ἐν ἀρρενικοῖς ζῳδίοις τυχόντα καὶ ὁ ὡροσκόπος ὑπὸ ἀγαθοποιῶν θεωρούμενος εὐτοκίαν ποιοῦσιν· ἐπὶ δὲ θηλυκῆς γενέσεως δυστοκίαν ποιοῦσι, καὶ μάλιστα ἐὰν τριγωνίζωσι τὰ φῶτα ἀλλήλους καὶ ἐν ἀρρενικοῖς ζῳδίοις. Ἐπὶ δὲ ἀρρενικῆς γενέσεως τὰ φῶτα ἑαυτοὺς τριγωνίζοντα καὶ ἐν θηλυκοῖς ζῳδίοις μετὰ τοῦ ὡροσκόπου δυστοκίαν ποιοῦσι· αὕτη γὰρ ἡ φάσις τῶν φώτων καλεῖται ἀμφίκυρτος. Ζεὺς ὡροσκοπῶν εὐτοκίαν δίδωσι· καὶ εἰ μὲν

7 οἷος addidi. 10 αὐτοῦ] αὐτὸν cod. τοῦ τόπου] τὸν τόπον cod. 10-11 ἐπιγνωσθῇ σοι cod. 16 τούτοις addidi. 17 et 19 ἐπιγνωσθήσεται] ἐπιγνωσθῇ cod.
36 ἑαυτοῖς cod. τρυγονίζον (τ supra lin.) cod.

ἀρρενικὸν εἴη τὸ ὡροσκοποῦν ζῴδιον, τὸν πατέρα εὐγενέστερον εἶναι τῆς μητρός· εἰ δὲ θηλυκόν, τὴν μητέρα. Κρόνος ὡροσκοπῶν δυστοκίαν παρέχει, μάλιστα ἐν τοῖς θηλυκοῖς ζῳδίοις. Ἄρης ὡροσκοπῶν, μάλιστα ἐν θηλυκοῖς ζῳδίοις, ἐξαπίνης καὶ σύντομον ποιεῖ τὸν τοκετὸν μᾶλλον ἐν ὁδῷ ἢ βαλανείῳ. Φησὶ δὲ καὶ τὰ ὀρθὰ καὶ τὰ πλάγια ζῴδια πολλὰ συμβάλλεσθαι εἰς τὸν περὶ τοκετοῦ λόγον. Ὀρθὰ μὲν ζῴδιά εἰσιν ἀπὸ Καρκίνου ἕως Τοξότου· πλάγια δὲ τὰ λοιπὰ ἀπὸ Αἰγόκερω ἕως Διδύμων.

[F. 73.] De dolore oculi dexteri [1].

Εἰ ἐρωτηθῇς περὶ πόνων ὀφθαλμοῦ δεξιοῦ, ἰδὲ τὸν Ἥλιον πῶς ἔχει καὶ τίνι τῶν ἀστέρων <συ>σχηματίζεται καὶ τίς τῶν ἀστέρων συσχηματίζει αὐτῷ καὶ ἐν ποίῳ ἐστὶ ζῳδίῳ. εἰ μὲν οὖν εὑρεθῇ ἐν πυρώδει ζῳδίῳ, ὑπάρχει ὁ πόνος τοῦ ὀφθαλμοῦ ἀπὸ θερμότητος· εἰ δὲ ἐν ἀερώδει, ἀπὸ ἀέρος, εἰ δὲ ἐν ὑδατώδει, ἀπὸ ὑγρότητος· εἰ δὲ ἐν γεώδει, ἀπὸ ψυχρότητος καὶ ξηρότητος· καὶ ὡς ἔχει ὁ Ἥλιος πρὸς τοὺς ἀστέρας τούς τε ἀγαθοποιοὺς καὶ κακοποιούς, οὕτως καὶ ἀπόφαινε. τῷ αὐτῷ οὖν τρόπῳ ἀποτέλεσον καὶ ἀπὸ τῆς Σελήνης, εἰ ἐρωτηθῇς περὶ ἀριστεροῦ ὀφθαλμοῦ· εἰ δὲ ἐρωτηθῇς περὶ γλώττης νοσούσης, λάβε ἀπὸ τοῦ ὡροσκόπου.

Dorotheus de discordiis.

Excerptum est hoc capitulum ex HEPHAESTIONIS lib. III, 34. In nonnullis codicibus versus Dorothei ubique solutis verbis transscripti sunt; e. g. in cod. Parisino 2501, de quo vide Ruelle, *Catal.*, VIII, part. 2, p. 15 ss.

[F. 76.] Ἐκκείσθω δὲ καὶ τὰ ἐκ τῶν ἐπῶν τοῦ Δωροθέου μεταφρασθέντα οὕτως.

Ἔστω ὁ κατηγορῶν ὁ ὡροσκόπος καὶ ἐὰν μέν ἐστι τὸ τοῦ ὡροσκόπου ζῴδιον στερεόν, ἔσται ὁ κατηγορῶν ἀμετάτρεπτος καὶ ἐπίμονος· ἐὰν δὲ δίσωμον, ἐν μετανοίᾳ γενόμενος εἰς ἑτέραν ἔννοιαν ἥξει· ἐὰν δὲ τροπικόν, ἀσυντέλεστος αὐτοῦ γίνεται ἡ ὁρμή· ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Ἄρης βλάπτῃ, καταισχυνθήσεται ὁ ἐνάγων· ἐὰν δὲ Ἑρμῆς μετά

5 ἐν corr. ex εἰς cod. 6 συμβάλλονται cod. 7 Αἰγοκέρου cod. 8 Διδύμων corr. ex Διδύμου cod. 11 σχηματίζεται cod., corr. Boll. 20 Edimus ex Vaticano et Parisino gr. 2501, f. 80 (contulit F. Cumont). ἐπῶν] ἐπί V. 26 seqq. cf. Dorothei Sid. Fragm. metr. ed. Guil. Kroll vers. 296-318 (*Catal.*, VI, p. 111). ἐστι V.

---

[1] Cf. Sextus Emp., *Adv. Astrol.*, V, 31 : Οἱ Αἰγύπτιοι βασιλεῖ καὶ δεξιῷ ὀφθαλμῷ ἀπεικάζουσι τὸν Ἥλιον, βασιλείᾳ καὶ ἀριστερῷ ὀφθαλμῷ τὴν Σελήνην.

τινος ἀγαθοποιοῦ ὡροσκοπῇ, χρήματα λαβὼν ὁ ἐνάγων σιγήσεται· ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Κρόνος βλάπτῃ, ζημιωθήσεται ὁ κατήγορος. Τὸ δὲ μεσουράνημα ἔστω ὁ κριτὴς καὶ ἐὰν τὸ μεσουράνημα βλάπτηται ὑπὸ κακοποιοῦ, τότε οἱ κριταὶ μὴ συμφωνήσαντες ἀλλήλοις διαστήσονται καὶ ἔσται ἀναβολὴ τῆς δίκης· εἰ δὲ καὶ συμφωνήσουσιν οἱ κριταί, ἀβέβαιος αὐτῶν ὅμως ἡ κρίσις καὶ ἡ συμφωνία ἐκστραφήσεται· ὁ δὲ Κρόνος μεσουρανῶν αἴτιός ἐστιν ἀδικοκρισίας· οἱ δὲ ἀγαθοποιοὶ μεσουρανοῦντες ποιοῦσι δικαιοκρισίας. τὸ δὲ δῦνον ἔστω ὁ ἐναγόμενος. [f. 76ᵛ] καὶ ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ ὡροσκόπου σχηματισμῶν τῶν ἀστέρων σκέπτου ἀναλόγως τὸ αὐτὸ καὶ ἐπὶ τοῦ δύνοντος καὶ κατηγορουμένου· ἐὰν δὲ ὁ Ἑρμῆς μετά τινος τῶν κακοποιῶν βλάπτῃ τὸ δῦνον, ἔσται ὁ ἐναγόμενος ἐπὶ διαβολῇ, εἰ καί τις μάρτυς ἐλθὼν καταμαρτυρήσει αὐτοῦ. Τὸ δὲ τέλος τῆς δίκης ἔσται ἐκ τοῦ ὑπογείου· σκοπεῖν οὖν δεῖ τοὺς οἰκοδεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος καὶ ὁποῖος αὐτῶν ὕπαυγος τοῦ ἑτέρου ἀνατολικοῦ ὄντος, κακὸν σημαίνει τῷ οἰκείῳ αὐτοῦ προσώπῳ· ἐὰν δὲ ἄμφω ὦσιν ὕπαυγοι, ἔσται ἀνακωχὴ τῆς δίκης πρὸς χρόνον καὶ πάλιν ὕστερον δικασθήσεται. ἐὰν δὲ ἄμφω ἀνατολικοὶ ὦσι, διαλλαγήσονται οἱ μαχόμενοι. Οἱ ἀγαθοποιοὶ τῶν ἀστέρων οἷς τισιν ἂν συνοικειωθῶσι, δικαίαν νίκην παρέχουσιν, οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων<. . . .> κἂν ἔξαυγοι ὦσιν· ἐν ἀλλοτρίοις δὲ καὶ ἀνοικείοις τόποις ὄντες αἴτιοι γίνονται ἥττης. Οἱ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπικέντροι καὶ ἀνατολικοὶ ὄντες ἄδικον νίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ. Σκοπεῖν δὲ χρὴ τόν τε δεύτερον τόπον καὶ τὸν ὄγδοον καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυρίας, ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ δεύτερος τοῦ διώκοντος ἐμφαίνει τοὺς συμμάχους, ὁ δὲ ὄγδοος τοῦ φεύγοντος· οἱ δὲ ἀγαθοποιοὶ οἷς ἂν ἐπαναφέρωνται, ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. Σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ, ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι, ἢ μαρτυρηθῇ ὑπ' αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ' αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ ἢ εἰς τοὺς τόπους ᾖ αὐτοῦ, τοῦτο μᾶλλον τοῦ ἑτέρου ἐν εὐελπιστίᾳ εἶναι ποιεῖ.

4 κακοποιῶν P. τότε om. P. 5 καὶ ἔσται] ἔσται γάρ V. 5-6 καὶ post κριταί add. P. ὅμως om. V. 6 καὶ post συμφωνία add. V. ἐκτραφήσεται P. 7 ἐστιν] γίνεται P. ἀδικοκρισίαν V. 11 ἐὰν δέ] ἐὰν γάρ P. 12 εἰ] ἢ V. 14 οὖν] δέ V. 15 ποῖός ἐστιν P. αὐτῶν om. P. κακά P. 16 γάρ ante σημαίνει add. P. δὲ ὦσιν ὕπαυγοι καὶ ἄμφω P. 17 ἀνακωχή] Cf. Erotianus rec. Ios. Klein, p. 49. δικασθήσονται P. 19 οἷς τισιν] εἴ τισιν V. νίκην] δίκην V. 20 lacunam statuit Boll. κἂν] καί P. 20-21 ὅμως δὲ ἀλλοτρίοις καὶ ἀ. P. 21 πάλιν ante οἱ κακοποιοί add. P. 25 ἵνα] ἃ codd. 26 δεύτερος τοὺς συμμάχους ἐμφαίνει τοῦ διώκοντος P. 27 ἐπιφέρωνται V. κρειττόνως] cf. A. N. Jannaris, *Hist. Greek Gramm.*, § 520 *b*. χειρόνως nusquam inveni. Cf. Indicem huius fasciculi. 32 ᾖ post ἑτέρου ponit P. τοῦτο om. P. μᾶλλον ἤ P. ἐν εὐελπιστίᾳ] εὐέλπιστον P.

Οὐ χρὴ δὲ ἐκ μόνων τῶν τεσσάρων κέντρων περὶ τῶν τοιούτων καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ τὰς ἀπορροίας καὶ συναφὰς αὐτῆς· ἐὰν γὰρ συνωθούσης τῆς Σελήνης οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσι, κακὸν σημαίνει τῷ διώκοντι· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ἐστὶ συνοδικὴ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου, τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον.

Ἐὰν δὲ χρηματική ἐστιν ἡ δίκη, οὕτως δεῖ σκοπεῖν· Σελήνη αὐξιφωτοῦσα ἔστω ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης· ἐὰν δὲ ἡ Σελήνη λήγῃ, ἀνάπαλιν ὁ μὲν Ἥλιος ἔστω ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης· [f. 77] ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον, ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται ἰσχυρότερον τοῦ ἑτέρου.

Δεῖ δὲ καὶ τὸν τῆς Τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύσει, ὁ διώκων ἰσχυρότερος ἔσται· εἰ δὲ τῇ δύσει, ὁ φεύγων· ἐὰν δὲ ὁ κλῆρος τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γῆν εἴη, διαλλαγήσονται αὐτοὶ καθ' αὑτοὺς οἱ μαχόμενοι· εἰ δὲ μεσουρανοίη, οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν· ἐὰν δὲ οἱ κύριοι τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος τύχωσιν ὄντες ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ, οἱ δικαζόμενοι οἰκεῖοι ἔσονται ἀφ' αἵματος ἀλλήλοις.

Καὶ εἰ μὲν εἴη Ἑρμαϊκὸν τὸ ζῴδιον τὸ ὑποδεξάμενον τοὺς δεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος, ἔσται πατὴρ τέκνῳ δικαζόμενος ἢ πάππος ἐγγόνῳ ἢ τοιαῦτα πρόσωπα· ἐὰν δὲ Ἀφροδισιακόν, ἔσται ἡ δίκη ἢ ἀνδρὸς πρὸς γαμετὴν ἢ ἀδελφοῦ πρὸς ἀδελφὴν ἢ πατρὸς πρὸς θυγατέρα ἢ τοιαῦτα· ἐὰν δὲ Ἄρεως ᾖ τὸ ζῴδιον, ἔσται ἡ μάχη ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων· ἐὰν δὲ Διός, ἔσται ὁ δικαζόμενος ἤτοι πρεσβυτέρῳ ἢ ἀδελφῷ ἢ θείῳ ἢ τὰ ὅμοια τούτοις· ἐὰν δὲ Κρονικόν, ἔσται ἡ δίκη πρὸς πατέρας ἢ πάππους ἢ μοναχοὺς ἢ εὐνούχους ἢ τοιούτους· ἐὰν δὲ Ἡλιακόν, πρὸς πατέρας ἢ ἐνδοξοτέρους· ἐὰν δὲ Σεληνιακόν, πρὸς μητέρας ἢ θείας ἢ τοιαύτας· ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ, δηλονότι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι.

2 δεῖ] δὴ cod. 3 ἔτι ante τὰς ἀπορρ. add. P. τὰς συναφάς P. αὐτῆς] τῆς Σελήνης P. ἐὰν γάρ] ἐὰν δέ V. συνωθείσης P. 3-4 τῆς Σελήνης] αὐτῆς P. 8 περὶ χρημάτων ἡ δίκη ᾖ P. 12 οἰκειοτοπῇ P. 15 τουτέστιν ὁ δανείσας post διώκων add. P. 16 τῇ δύσει] τῷ δύνοντι P. 18 οἱ μαχόμενοι om. P. μεσουρανεῖ V. κριταί] κύριοι P. 24 Ἀφροδισιαστικόν P. 25 ἢ ante ἀνδρός om. V. ἀδελφόν V. πατρός om. V. 26 πρόσωπα post τοιαῦτα add. P. τοῦ Ἄ. P. ἤτοι post μάχη add. P. 28 τὰ ὅμοια τούτοις] τοιουτωνί P. 20 Κρονιακόν V. 29-30 ἢ μοναχοὺς ἢ εὐνούχους om. P. 30-33 ἐὰν δὲ Ἡλιακὸν ... μαχόμενοι om. P.

[F. 76 in margine.]

Εἰ ἐρωτηθῇς περὶ γυναικός, εἰ δύναταί τις ἑνωθῆναι αὐτῇ χωρὶς συζύγου, ἰδὲ τὸν ὡροσκόπον· καὶ εἴ ἐστιν ὁ Ἄρης ἐν αὐτῷ ἢ ἐν τοῖς κέντροις καὶ συσχηματίζεται αὐτῷ ἡ Ἀφροδίτη ἢ ὁ κύριος τοῦ ζ′, δηλοῖ τὴν τούτων ἕνωσιν· τὸ αὐτὸ οὖν δηλοῖ καὶ ἡ Ἀφροδίτη μέλλουσα γενέσθαι ὕπαυγος ἢ πρὸς τὸν Ἥλιον ἀναποδίζουσα. εἰ δὲ βούλει γνῶναι, ποῖος ἐκ τούτων ἀγαπήσει τὸν ἕτερον πλέον, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου, καὶ εἰ ὑπάρχει ἐν τῷ ζ′ ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ ζ′, ἐστὶν ἡ πρὸς τὴν γυναῖκα ἀγάπη τοῦ ἀνδρὸς πλέων· εἰ δὲ ὁ κύριος τοῦ ζ′ ἐν τῷ ὡροσκόπῳ εὑρεθῇ ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ ζ′, πλέων ἐστὶν ἡ ἀγάπη τῆς γυναικὸς ἡ πρὸς τὸν ἄνδρα.

Εἰ ἐρωτηθῇς περὶ δύο γυναικῶν ἢ παλλακίδων ὡς ὁποία ἐκ τούτων ἀγαπήσει τὸν κύριον αὐτῆς πλέον, λάβε τὴν μὲν ἐρωτήσασαν ἀπὸ τοῦ ὡροσκόπου, τὴν δὲ ἑτέραν ἀπὸ τοῦ ζ′· καὶ ὁποῖος τῶν δύο κυρίων πλησιάζει τῷ μεσουρανήματι ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ μεσουρανήματος, ἐκείνη ἡ γυνὴ ἀγαπήσει πλέον τὸν κύριον αὐτῆς.

Εἰ ἐρωτηθῇς παρὰ ἀνδρός, εἰ ἀγαπήσει ἡ γυνὴ ἕτερον, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου καὶ εἰ ὁρᾷ τὸν οἰκοδεσπότην αὐτοῦ, λέγε ναί· ἡ δὲ ὁμοίωσις καὶ τὸ εἶδος αὐτοῦ ἔσται οἷα ἐστὶν ἡ τοῦ οἰκοδεσπότου τοῦ κυρίου τοῦ ὡροσκόπου· εἰ δέ ἐστιν ἕτερος ἀστὴρ μετὰ τοῦ κυρίου τοῦ ὡροσκόπου ἢ δύο ἢ τρεῖς ἀστέρες, ἐρᾷ ἡ γυνὴ τοσούτους καὶ τὴν ὁμοίωσιν αὐτῶν· εἰ δὲ ὁρᾷς ἑκάτερον τούτων τῶν ἀστέρων ἐν τῷ οἴκῳ τοῦ ἑτέρου, ἔσται μεταξὺ αὐτῶν συγγένεια· εἰ δὲ τετραγωνίζουσιν, ἔσται μεταξὺ αὐτῶν μῖσος· εἰ δὲ διαμετροῦσιν, ἔχθρα· εἰ δὲ τριγωνίζουσιν ἢ ἑξαγωνίζουσιν, φιλία.

Dorotheus de fugitivis [1].

[F. 77ᵛ.] Περὶ δραπετῶν ἕτερα διάφορα Δωροθέου [καὶ ἑτέρων σοφῶν].

Φησὶν ὁ Δωρόθεος οὕτως· γνωσόμεθα τὸν μὲν δραπέτην ἐκ τῶν τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ συμβεβηκότων, τὸν δὲ δεσπότην ἐκ τῶν τῷ Ἡλίῳ καὶ τῷ μεσουρανήματι· ἐὰν οὖν ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ἐν

2 εἰ δύναται] ἐὰν δύναται cod. 3 συζυ^γ′ cod. 4 εἰ ἡ Ἀ. cod. 12 παλακίδων cod. 13 αὐτοῦ cod. 15 τῷ μεσουρανήματι] τοῦ μεσουρανη^μτ′ cod. 19 καὶ τὸ εἶδος addidit manus altera. 21-22 καὶ τὰ τὴν ὁ. cod. 24-25 τριγωνίζουσιν] △ι′ cod. ἑξαγωνίζουσιν] ▽ι′ cod. 28 καὶ ἑτέρων σοφῶν uncinis seclusi.

[1] Dorothei περὶ δραπετῶν versus excerpserat Hephaestio III, 37, sed " librariorum pigritia interierunt ". Cf. Kroll, *Catal.*, VI, p. 113. Hoc excerptum ex exemplari Hephaestionis descriptum est, ubi Dorothei versus solutis verbis redditi erant; cf. supra, p. 80.

τροπικοῖς ἢ ἐν ἡμερινοῖς τύχωσι ζῳδίοις, ἐμποδισμοὶ συμβήσονται τῷ φυγόντι καὶ οὐ μὴ δυνηθῇ πόρρω που ἀφικέσθαι οὔτε διὰ γῆς οὔτε διὰ θαλάσσης· ἐὰν δὲ ἐν δισώμοις, οὐκ ἔφυγε μόνος, ἀλλ' ἔχει στερεότητα καὶ καρτερίαν [f. 78]· Ἄρεως δὲ ἐκ τῶν δεξιῶν, τοῦ Ἑρμοῦ τριγωνίζοντος ἀπὸ τοῦ ὑπογείου, χαλεπὸς θάνατος τῷ φυγόντι δηλοῦται· Σελήνης ὑπὸ τὰς αὐγὰς οὔσης τοῦ Ἡλίου καὶ ὑπὸ Ἄρεως δρωμένης ὁ φυγὼν ἢ ἀπὸ πυρὸς ἢ ἀπὸ σιδήρου ἀπόλλυται.

Εἰ δὲ θέλεις γνῶναι καὶ τὴν ποιότητα τοῦ ὀλέθρου καὶ ὑπὸ τίνων γίνεται, σκέπτου οὕτως· σκόπει γὰρ τὸ ζῴδιον ὅπερ ἐπέχει ἡ Σελήνη καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς· εἰ μὲν οὖν ὦσιν ἀνθρωπόμορφα, ὑπὸ λῃστοῦ καὶ ἁπλῶς ἀνθρώπων τὰ κακὰ γίνεται· ἐὰν τετράποδα, ὑπὸ θηρίων· εἰ δὲ ἀνάμιξις, τουτέστιν τὸ μὲν ἀνθρωπόμορφον, τὸ δὲ τετράπουν, ὑπὸ πολεμίων ἱππέων· ἐὰν δὲ γεώδη, ὑπὸ κρημνισμῶν ἢ συμπτωμάτων· ἐὰν δὲ τὴν Σελήνην ὡς εἴρηται ὕπαυγον οὖσαν ὁ Κρόνος ἐκ ζῳδίου καθύγρου ἴδῃ Λέοντος ὡροσκοποῦντος, βεβαιότερον τὸ κακὸν δηλοῦται· οὔτε γὰρ ὁ φυγὼν εὑρεθήσεται, ἀλλὰ διαφθαρήσεται, οὔτε τὸ ἀπολωλὸς εἶδος· ἐὰν δὲ τῇ τοιαύτῃ τῆς Σελήνης κακώσει καὶ ὁ Ἑρμῆς συμπνεύσῃ, οἱ δραπέται αὐτόχειροι ἀποθνῄσκουσι. τὰς δὲ προειρημένας κακώσεις οἱ ἀγαθοποιοὶ ἀναλύουσιν εἰσθεωρήσαντες καὶ μάλιστα ἔξαυγοι ὄντες· Σελήνης πρὸς Ἄρεα μὴ στηρίζοντα φερομένης ἀλλὰ προσθετικῆς, ὁ φυγὼν μαστίγων καὶ βασάνων πεῖραν λήψεται· Ἄρεως δύνοντος Σελήνης ἐπιδυομένης τοῦ Διὸς ἐπιθεωροῦντος αὐτούς, ὁ φυγὼν διὰ μὲν τὸν Ἄρεα φόβους καὶ κινδύνους ὑποστήσεται, διὰ δὲ τὸν Δία ῥυσθήσεται ἐκ τοῦ κακοῦ· ἐὰν οἱ κακοποιοὶ τὸ ὑπόγειον κέντρον ἢ τὸ μεσουράνημα ἢ τὸ δῦνον περιέχουσιν, ὁ φυγὼν δεσμότης γενόμενος ἐν εἱρκτῇ ἀποθνῄσκει.

Σελήνης μεσουρανούσης καὶ ὑπὸ τῶν κακοποιῶν περιεχομένης, ὑπὸ τοῦ μὲν Ἄρεως ἐκ τῶν δεξιῶν, ὑπὸ δὲ τοῦ Κρόνου ἐκ τῶν εὐωνύμων, ὁ φυγὼν ἀγχόνῃ διαφθαρήσεται· ἐὰν δὲ ὁ μὲν Ἄρης ἐκ τῶν εὐωνύμων, ὁ δὲ Κρόνος ἐκ τῶν δεξιῶν αὐτὴν περιέχωσιν, ὁ φυγὼν ἀνασταυρωθήσεται. Σελήνης μεσουρανούσης ἢ δυνούσης ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ οὔσης ὑπὸ Ἡλίου ἢ Ἄρεως περιεχομένης, ὁπόθ' ἑκάτερος τύχῃ ἢ δεξιὸς ἢ εὐώνυμος, ὁ φυγὼν ζῶν πυρὶ παραδοθήσεται· ὁ τῆς Σελήνης οἰκοδεσπότης ὕπαυγος ὢν καὶ μὴ θεωρῶν τὴν Σελήνην τοῦ φυγόντος τὸν δεσπότην δηλοῖ ταχέως ἀποθνῄσκειν· τῆς Σελήνης καὶ τοῦ οἰκοδεσπότου αὐτῆς καὶ τοῦ ὡροσκόπου ἐν τροπικοῖς ζῳδίοις ὄντων ὁ φυγὼν ἐν μετανοίᾳ γενόμενος ἑκουσίως πρὸς τὸν δεσπότην ὑποστρέψει. ἐὰν δὲ ἡ Σελήνη ὁρᾶται ὑπὸ ἀγαθοποιῶν καὶ κακοποιῶν, οὐ διαφεύξεται ὁ φυγὼν τὸν δεσπότην καὶ μάλιστα ὅταν ὁ κακοποιὸς

1 ἢ ἐν ἡ.] ἢ εἰς ἡμερινοῖς cod. 3 στερότητα cod. 8 γνῶναι addidi. 12 εἰ] ἡ cod. 21 προσθετική cod. 23 φόβους] cf. A. Dieterich, *Abraxas*, p. 89 sqq. 27 et 28 ὑπό post περιεχομένης et post δεξιῶν addidi. 32 οὔσης] ἰούσης cod.

τετράγωνος ἢ διάμετρος ᾖ πρὸς τὴν Σελήνην· καὶ ἐν ἐκείναις σχεδὸν ταῖς ἡμέραις, ἐν αἷς [f. 79] ἡ Σελήνη διέρχεται κατὰ περίπατον εἰς τὰς τοῦ κακοποιοῦ μοίρας τῆς ἐποχῆς, ἤτοι ἀγρευθήσεται ὁ φυγὼν ἢ κακῷ τινι περιπεσεῖται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων κεκακωμένων καὶ ὑπὸ μηδενὸς τῶν ἀγαθοποιῶν βοηθουμένων ὁ φυγὼν κινδυνεύσει καὶ βλαβήσεται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων βοηθουμένων ὑπὸ τῶν ἀγαθοποιῶν καὶ ἀκακώτων ὑπὸ Κρόνου καὶ Ἄρεως, εἰ μὲν ἐν στερεοῖς ζῳδίοις ὦσιν οἱ ἀγαθοποιοί, ὁ φυγὼν οὐδέποτε εὑρεθήσεται· εἰ δὲ ἐν δισώμοις ἢ τροπικοῖς, ὁ φυγὼν μετανοήσας ὑποστρέψει ἤ, εἰ καὶ εὑρεθῇ, οὐδὲν κακὸν πείσεται· ὁ Ἥλιος τὴν Σελήνην καὶ τὸν ὡροσκόπον θεωρῶν πάντα φανεροποιεῖ τὰ λαθραῖα. ἀπὸ δὲ τῶν ὑποφαινουσῶν [εὕρεσιν] καταρχῶν ὁ μὲν Ἄρης ταχέως δηλοῖ τὴν εὕρεσιν, ὁ δὲ Κρόνος βραδέως. Διὸς δύνοντος ὁ φυγών, εἰ καὶ κρατηθῇ, οὐδὲν κακὸν πείσεται· ὁ γὰρ δεσπότης πραΰνεται· ἡ Ἀφροδίτη Ἄρει ὑποφαίνουσα ἐν τόπῳ ἱερῷ τὸν φυγάδα ποιεῖ. ἐάν τις ἀστὴρ ἐν οἴκῳ ἰδίῳ ὢν καὶ βλέπων τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ᾖ, δηλοῖ μὴ γεγονέναι φυγήν, ἀλλ' εἴ τι, που πλησίον πλανᾶται ὃν δοκεῖς πεφευγέναι, μακρὰν δὲ οὐκ ἀπῆλθε· πᾶς γὰρ ἀστὴρ ἀναποδίζων καὶ τὴν Σελήνην ὁρῶν καὶ τὸν ἴδιον οἶκον, οὐ πεφευγέναι λέγει τὸν ζητούμενον, ἀλλ' ἐγγύς που πλανᾶσθαι· ἐπεὶ δὲ ἡ ὡροσκόπησις τῆς καταρχῆς τοῦ φυγόντος ἄδηλός ἐστι, δεῖ τιθέναι ἐκεῖνον ὡροσκόπον ὅπου ἤκουσεν ὁ τοῦ φεύγοντος δεσπότης τὴν ἀγγελίαν τῆς φυγῆς.

Καὶ ταῦτα μὲν ἐκ τῶν τοῦ Δωροθέου ἐπῶν μεταπέφρασται.

[F. 96 in margine.] Ὁ σοφώ<τατος> Δωρό<θεος> π<ερὶ τῆς ἀναγορεύσεως τοῦ βασιλέως ἢ τῆς προβολῆς τοῦ ἀρχηγοῦ.

Λάβε ἀπὸ τῆς ἀποτελεσμα>τικῆς τέχνης ὅπερ ἐνδέχεται εἶναι τοῦ παρ' ἡμῖν ὡς μυστήριον· ἰδὲ τὴν ἡμέραν καθ' ἣν ἡ ἀναγόρευσις τοῦ βασιλέως ἢ ἡ προβολὴ τοῦ ἀρχηγοῦ ἢ τοῦ πράκτορος γένηται καὶ ποῖός ἐστιν ὁ πολεύων. Καὶ ἐὰν ἐγένετο ἡ ἀναγόρευσις ἢ ἡ προβολὴ κατὰ τὴν πρώτην ὥραν τῆς τοιαύτης ἡμέρας, δηλοῖ τὸ διαμενεῖν αὐτὸν ἐν τῇ τοιαύτῃ ἐξουσίᾳ καιρὸν τοσοῦτον, ὅσον ὁ τοιοῦτος ἀστὴρ ποιεῖ, ἵνα διέλθῃ τὸν ζῳδιακὸν κύκλον· εἰ δὲ ἐν τῇ δευτέρᾳ ὥρᾳ, ἀφαιρεῖται ἐκ τοῦ τοιούτου ἀριθμοῦ τὸ ς'· εἰ δὲ ἐν τῇ τρίτῃ ὥρᾳ, ἀφαίρει τὸ δ' καὶ καθεξῆς ὁμοίως ἀποβλέπων πρὸς τὰς δώδεκα ὥρας τῆς ἡμέρας, ὥστε ὅσον μέρος παρῆλθεν ἡ ἡμέρα ἀπὸ τῶν δώδεκα ὡρῶν, τοσοῦτον

12 ἀπό] ὑπό cod. εὕρεσιν uncinis seclusi. 19 λέγει] λέγε cod. 25-27 Margo superior bibliopegae incuria totus fere resectus est. ο . . . σοφω . . . . δωρο . . . . π . . . . cod. 26-28 περὶ τῆς ἀναγορεύσεως - ἀποτελεσμα| supplevi. 31 ἐγένετο cod. corrigere nolui. 33 διαμεῖναι cod.

μέρος ὀφείλει ἀφαιρῆσαι ἀπὸ τοῦ ἀριθμοῦ τῆς περιόδου τοῦ ἀστέρος τοῦ πολεύοντος κατὰ τὴν τοιαύτην ὥραν· ὁ τοιοῦτος δὲ ἀριθμὸς ἢ χρόνων ἔσται ἢ μηνῶν ἢ ἡμερῶν.

Εἰ δὲ γένηται ἡ ἀναγόρευσις ἢ ἡ προβολὴ ἐν νυκτί, ἰδὲ κατὰ τὴν ὥραν ἐκείνην τίς ἐστιν ὁ πολεύων καὶ τίς ἐστιν ὁ τοῦ ὡροσκόπου κύριος καὶ ὁ ὑψοκράτωρ καὶ ὁ οἰκοδεσπότης τοῦ κλήρου τῆς Τύχης καὶ λάβε ἐκ τούτων ὅντινα εὑρήσεις δυνατώτερον καὶ τοῦ ὡροσκόπου ἐπικρατήτορα χρηματίζοντα· καὶ εἰ μὲν ὁ τοιοῦτος ἐπικρατήτωρ ἐστὶ Ζεὺς ἢ Ἀφροδίτη καὶ ὁρᾷ τὸν ὡροσκόπον, σημαίνει δόσιν ἐτῶν παραμονῆς τῆς τοιαύτης ἀρχῆς τελείων κατὰ τὴν τοῦ ἀστέρος περίοδον χωρίς τινος ἀφαιρέσεως. εἰ δὲ ὁ ἐπικρατήτωρ ἐστὶ Κρόνος ἢ Ἄρης ἢ εὑρεθῇ εἷς ἐκ τούτων κύριος τοῦ κλήρου τῆς βασιλείας ἐπὶ τῷ βασιλεῖ ἢ κύριος τοῦ κλήρου τῆς πράξεως ἐπὶ τῷ πράκτορι, ἰδὲ τὸν μεταξὺ τῶν δύο κακοποιῶν ἀριθμὸν καὶ εἰπὲ διαρκέσειν τὸν τοιοῦτον ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ ὥρας τοσαύτας ἢ ἡμέρας ἢ μῆνας. εἰ δὲ παρέλθῃ ἀπὸ τῆς νυκτὸς μία ὥρα, ἀφαίρησον ἀπὸ τοῦ τοιούτου ἀριθμοῦ τὸ ιβ΄· εἰ δὲ δύο, ἀφαίρησον τὸ ς΄ καὶ καθεξῆς ὁμοίως καθὼς προεδηλώθη. τὴν τοιαύτην οὖν χρῆσιν οὐ μόνος ἐγὼ ἀληθεστάτην εὗρον δοκιμάσας αὐτήν, ἀλλὰ καὶ ἕτεροι σοφοὶ καὶ τῶν βασιλέων πολλοί.

Ἐπὶ τῇ τοιαύτῃ γοῦν ὑποθέσει ἐὰν εὕρῃς τοὺς κακοποιοὺς τριγωνίζοντας πρὸς ἀλλήλους, δηλοῖ τὸ εἶναι τὴν ἐξουσίαν ἐκείνην καλλίστην ἐπί τε αὐτῷ τῷ ἐξουσιαστῇ καὶ ἐπὶ τῷ λαῷ καὶ ἐπ' αὐτῷ τῷ θανάτῳ αὐτοῦ· εἰ δὲ ἑξαγωνίζοντας, τὸ αὐτὸ μὲν δηλοῦσιν, ἔσται δὲ τὸ καλὸν ἧττον· εἰ δὲ τετραγωνίζοντας, δηλοῖ τὸ εἶναι τὴν τοιαύτην ἐξουσίαν κακίστην ἐπ' αὐτῷ τε τῷ ἐξουσιαστῇ καὶ ἐπὶ τῷ λαῷ· εἰ δὲ διαμετροῦσιν, ἔσται τὸ κακὸν πλέον. εἰ δὲ ὁ κύριος τῆς ἡμέρας καὶ τῆς ὥρας καὶ τῶν ὁρίων τοῦ ὡροσκόπου ..... ἢ καὶ <...> δηλοῖ τὸ μὴ εἶναι ἐπὶ μήκιστα τὴν τοιαύτην ἐξουσίαν· εἰ δὲ Ἥλιος, δηλοῖ ἐπιμονὴν τῆς ἀρχῆς κατὰ τὴν τοῦ Ἡλίου ἐνιαυσίαν περίοδον. τὴν τοιαύτην μέθοδον ἐὰν ἐξακριβώσῃ ἐπί τε τοῖς βασιλεῦσι καὶ τοῖς λοιποῖς ἀρχηγοῖς, οὐχ ἁμαρτήσεις.

[F. 101 in margine.]

Λέγει ὁ Δωρόθεος ὡς εἰ ἐρωτηθῇς παρά τινος ἐκβληθέντος ἀπὸ τῆς ἀρχῆς. ἐρωτήσαντός τινος περὶ τοιαύτης ὑποθέσεως εἴτε ὑποστρέψει εἴτε καὶ μή, ἰδὲ τὴν Σελήνην καὶ ἐάν ἐστιν ὑποδεδεγμένη ἢ συσχηματίζεται ἀστέρι ὄντι εἰς κέντρον ἢ ὁρῶντι τὸν ὡροσκό-

9 ὁρᾷ incertum. 14 διακρέσαι cod. 15 τοσαύτας] τοσοῦτας cod. 27 post ὡροσκόπου in cod. sequuntur duo verba prorsus fere deleta. ante δηλοῖ lacunam significavi. 33-34 ἀπὸ τῆς ἀρχῆς incertum. Bibliopegae incuria primus huius capituli versus totus fere deletus est. 34 <ἐρωτῶν>τός τ<ινος> Cumont. <ἢ κυριότη>τός τ<ινος> Boll.

πον, δηλοῖ ὑποστροφήν· τὸ αὐτὸ γοῦν σημαίνει, καὶ ὅτε ὁ κύριος τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη συνάπτουσιν ἀστέρι ὑποποδισμένῳ.

[F. 102.] ξζ'. Περὶ τοῦ εἰ τέλος ἕξει τὸ ζητούμενον εἴτε καὶ μὴ καὶ εἰ ταχέως ἢ βραδέως.

Κατὰ τὸν Σαραπίωνα[1] τὸν πολεύοντα καὶ διέποντα θεωρεῖτε καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος· καίτοι γὰρ ἢ οἱ πλείους ἢ πάντες ἐπίκεντροι ὄντες καὶ ἑῷοι πρὸς Ἥλιον καὶ ὡροσκοποῦντες θᾶττον τέλος ἐπάγουσιν· ἐπαναφερόμενοι δέ, βραδέως ἀνύουσιν· ἀποκεκλικότες, οὐδαμῶς. καὶ ἀγαθοποιῶν μὲν τούτους ἰδόντων ἐπὶ συμφέροντι ἀποβήσεται· κακαποιῶν δὲ τοὐναντίον. εἰ δὲ ὁ μὲν ἐπαναφερόμενός ἐστιν, ὁ δὲ ἐπίκεντρος, ἐκ τῆς πλειοψηφίας νόει τὸ ἄμεινον τίς ποιήσει· τριῶν γὰρ ὄντων τῶν τὰς πράξεις διδόντων, τὸν οἰκειούμενον τῷ πράγματι ἰδὲ καὶ τὴν Σελήνην ὁμοίως, καὶ εἰ οὗτοι ἀπέκλιναν, οὐκ ἀνύσουσιν.

[F. 104.] Ζωροάστρου[2] κατὰ Πραξίδικον[3] περὶ πολέμου προσδοκωμένου ἢ κακοῦ τινος, πότε γίνεται.

Σκόπει Ἄρεα, καὶ ἐὰν εὕρῃς αὐτὸν εἰς ἕνα τῶν κέντρων παριόντα, λέγε παρεῖναι τὸν πόλεμον· ἐὰν δὲ Ἄρης ἐν ταῖς ἐπαναφοραῖς τῶν κέντρων ᾖ, ἔσται ὁ πόλεμος μετὰ ... ἡμέρας ἐντὸς μηνός· ἐὰν Ἄρης ἐν τοῖς ἀποκλίμασι, γέγονεν ὁ πόλεμος οὗτος καὶ τὸ προσδοκώμενον κακόν· ἐὰν ἐρωτηθῇς περὶ πολέμου μέλλοντος ἔσεσθαι, ἀρίθμησον τὰς μεταξὺ μοίρας Ἑρμοῦ καὶ Ἄρεως καὶ ἀπόλυσον ἀπὸ Ἄρεως. ὅταν οὖν εἰσέλθῃ ἐν αὐτῷ ὁ Ἄρης, τότε γενήσεται ὁ πόλεμος. οἱ ἀγαθοποιοὶ ἐπὶ πολεμικῆς καταρχῆς εἰς τὰ εὐώνυμα τετράγωνα ἐρχόμενοι κατάλυσιν τοῦ πολέμου σημαίνουσιν.

6 πολεύοντα] πολε^{κτ} cod. Editur ex Vaticano, Parisino 2417 f. 35 (= P), Paris. 2417 f. 176ʳ (= p). Contulit Parisinum P. Boudreaux. 16 κατὰ Πραξίδικον om. V. 19 λέγε - πόλεμον] ὁ πόλεμος πάρεστιν Pp. Ἄρης om. V. 20 ᾖ om. Pp. post ἡμέρας numerus dierum excidisse videtur. ἐντὸς μηνός om. V. ἐὰν Ἄρης om. V. 20-21 ἐν δὲ τ. ἀποκλ. V. 21 οὗτος om. V. 21-22 καὶ τὸ προσδοκώμενον κακόν om. Pp. 22 ἐὰν ἐρωτηθῇς περὶ πολέμου μέλλοντος ἔσεσθαι om. V. ἀρίθμησιν P. δέ post ἀρίθμησον add. V. 23 μοίρας om. Pp. πόσαι μοῖραί εἰσιν post Ἄρεως add. Pp. ἀπόλυσον - Ἄρεως] δὸς ταῦτα ἀπὸ μοιρῶν Ἄρεως καὶ βλέπε ποῖος μὴν ἔσχατος καὶ ταῦτα (κάταντα P) καὶ ὅταν εἰσ. Pp. 24 ὁ post γενήσεται om. Pp. post πόλεμος add. P ἢ ἀμιβολία (l. ἀμφιβολία) ἐν ταύτῃ τῇ ὥρᾳ, p ἢ ἀμφισβήτησις ἐν αὐτῇ τῇ ὥρᾳ.

---

[1] De Sarapione cf. *Catal.*, V, 1, p. 179, n. 2.

[2] De Zoroastre cf. *Catal.*, II, p. 192.

[3] De Praxidico cf. W. Kroll, *Astrologisches* (*Philologus* 57), 1898, p. 133 et O. Crusius, *Accius in Praxidico*, *ibid.*, p. 643 sqq.

[F. 104v, cap. ο′.] Περὶ πράξεως καὶ ἄλλως.

Ὁ περὶ πράξεως λόγος καταλαμβάνεται διὰ τὸ ἐν αὐτῇ ὀξὺ ἐκ τῶν ταχεῖαν ἐχόντων τὴν κίνησιν, λέγω Ἄρεως, Ἀφροδίτης καὶ Ἑρμοῦ· οὐ μὴν ἀλλ' ὅτι πᾶσα τέχνη καὶ ἐπιστήμη ἐκ τῶν τριῶν τούτων θεωρεῖται ἀστέρων· τόποι δὲ πρὸς τὰς τούτων ἐπιπαρουσίας χρησιμεύουσιν οἵδε· τὰ δ' κέντρα καὶ αἱ τούτων ἐπαναφοραὶ καὶ τὸ ἀπὸ ὡροσκόπου ἕκτον· προκεκριμένων μέντοι τριῶν, ἐν μὲν τοῖς κέντροις τὸ μεσουράνημα, ἐν δὲ ταῖς ἐπαναφοραῖς τὸ β′ ἀπὸ ὡροσκόπου· εἰ δὲ μηδὲ εἷς τῶν εἰρημένων ἀστέρων ἐφ' ἑνὸς τόνδε τὸν τόπον ἵσταται μηδὲ μὴν ἐπὶ τοῦ κλήρου τῆς Τύχης, προσήκει ζητεῖν τίς αὐτῶν τὴν συναφὴν τῆς Σελήνης ἢ τοῦ Ἡλίου ὑποδέδεκται ἢ πρὸ ἑπτὰ ἡμερῶν ἢ μεθ' ἑπτὰ φάσιν τινὰ τύχῃ πεποιημένος· ὃς γὰρ ἂν τούτων τῶν ἀστέρων ἕνα λόγον ἔχων ἢ καὶ πλείους πρὸς τὰ εἰρημένα εὑρεθῇ, ἐκείνου τοῦ ἀστέρος τὸ οἰκεῖον τῆς ἐνεργείας λαμβάνοντας χρὴ τὴν πρᾶξιν ἀποφαίνεσθαι.

Ἄλλως.

Ἐν τῷ περὶ πράξεως λόγῳ κυριώτερος τόπος ἐστὶν ἐν μὲν τοῖς κέντροις τὸ μεσουράνημα, ἐν δὲ ταῖς ἐπαναφοραῖς ὁ βίος ἤτοι τὸ β′ ἀπὸ ὡροσκόπου. ὅστις οὖν τῶν γ′ ἀστέρων, Ἄρεως, Ἀφροδίτης ἢ Ἑρμοῦ, χρηματίσει εἰς τὸν περὶ πράξεως λόγον, καὶ ὁ τόπος αὐτοῦ συνεργήσει πρὸς τὸ μέγεθος τῆς πράξεως· οἷον ἐν μὲν τῷ μεσουρανήματι ἢ τῷ βίῳ ὁ τοῦ Ἑρμοῦ βελτίους καὶ καθαρὰς παρέχει τέχνας, οἷον σοφιστικήν, ῥητορικήν, γραμματικήν, διδασκαλικήν. ἐν δὲ τοῖς ὑποδεεστέροις λογογράφους, νομικούς, χαμαιδιδασκάλους· ὁ δὲ τοῦ Ἄρεως ποιεῖ στρατηγοὺς ἐν τοῖς κρείττοσι τόποις ἢ στρατιώτας ἢ χρυσοχόους, ἐν δὲ τοῖς χείροσι μαγείρους ἢ κλειδοποιούς· ἡ δὲ Ἀφροδίτη ἐν μὲν τοῖς κρείττοσι ζωγράφους, κιθαριστάς, ὑφαντὰς ποικίλων ἱματίων, ἐν δὲ τοῖς χείροσι θυμελικούς, μίμους καὶ τὰ τοιαῦτα.

[F. 116, cap. ϛβ.] Περὶ ὀνείρων.

Εἰ ἐρωτηθῇς παρά τινος εἰπεῖν αὐτῷ ὃ εἶδεν ἐν ὀνείρῳ, κρατήσας τὴν ὥραν πρῶτα μὲν στῆσον τὸν ὡροσκόπον καὶ τοὺς λοιποὺς τοῦ θέματος τόπους, εἶτα πῆξον τοὺς ἀστέρας, ἐν οἷς ἂν παραπορεύωνται ζῳδίοις καὶ μοίραις καὶ μετὰ ταῦτα ἰδέ, εἰ ἐπὶ τοῦ ἐνάτου τις τῶν πλανητῶν πάρεστι, καὶ ἐκ τῶν δεσποζομένων ὑπ' αὐτοῦ καὶ ἐκ τῶν σημαινομένων ὑπὸ τοῦ τόπου, οὗ κύριός ἐστιν, εἶναι λέγε ὃ ἑώρακεν, εἴτε ζῷον, εἴτε μεταλλικόν, εἴτε φυτὸν καὶ λοιπόν. οἷον εἰ τύχῃ Κρόνος εἶναι ἐπ' αὐτοῦ, ἰδεῖν αὐτὸν λέγε ζῷα φοβερά, οἷον δράκοντας ἢ ὄφεις ἢ ἐλέφαντας. Ἀλλ' εἰ μὲν τοῦ ὀγδόου τόπου κύριός ἐστι, νεκροὺς ἢ

7 προκεκριμμένων cod. 21 ἐν μὲν τὸ μεσουράνημα cod. 36 μεταλικόν cod. 37-38 δράκοντας - ἐλέφαντας] cf. *Catal.*, VII, p. 96, 5 sqq.

τάφους ἢ λείψανα· εἰ δὲ τῷ δωδεκάτῳ, φόβον παρά τινων ἐχθρῶν καὶ κατάπληξιν αὐτῷ ἐπαγομένην ἰδεῖν λέγε.

Εἰ δὲ τὸν τέταρτον τόπον οἰκοδεσποτεῖ, τόπους ἀβάτους καὶ κρημνοὺς καὶ βάραθρα καὶ ἑξῆς, καθὰ σημαίνουσιν οἱ τόποι, τὴν ἀπόφασιν δίδου.

Εἰ δὲ τύχῃ τὸν Δία εἶναι ἐπ᾽ αὐτοῦ, ἰδεῖν αὐτὸν λέγε βασιλέα ἢ τοπάρχας ἢ ἱερέα ἢ κριτήν· καὶ εἰ μὲν τοῦ ἐνάτου ἢ τοῦ ἕκτου τόπου κύριός ἐστιν, ὑποφαίνου ἰδεῖν αὐτὸν εἰκόνας ἢ ἐκκλησίας ἢ ἱερά τινα σκεύη καὶ εἴδη καὶ ἑξῆς κατὰ τὴν δωδεκάτροπον. εἰ δὲ τύχῃ τὸν Ἄρεα εἶναι ἐπὶ τοῦ τόπου τούτου, ἑώρακεν αἵματα ἢ πόλεμον ἢ στάσιν ἢ ἅρματα καὶ ὅπλα ἢ κρέατα ἢ πωλία ἢ θηρία. εἰ δέ ἐστιν Ἀφροδίτη ἐπ᾽ αὐτοῦ δὴ τοῦ ἐνάτου, γυναικεῖον κόσμον ἢ λίθον τίμιον καὶ μαργαρίτας ἢ ἀρώματα καὶ μυριστικὰ ἢ γυναῖκας ἢ ἀδελφοὺς ἢ χοροὺς καὶ παίγνια. εἰ δὲ Ἑρμῆς, νοταρίους ἢ βιβλία καὶ γράμματα ἢ ἀργυρᾶ νομίσματα ἢ ποικίλματα καὶ ζωγραφίας. εἰ δὲ ὁ Ἥλιος, ὑπηνέμιον φέρεσθαι τοῦτόν φασι καὶ ὑψοῦσθαι ἢ φῶτα ἢ ἕτερά [f. 116ᵛ] τινα λαμπρὰ καὶ δι᾽ αὐγῶν ἰδεῖν. εἰ δὲ ἐφεδρεύει ἡ Σελήνη ἐπὶ τοῦδε τοῦ τόπου, ποταμὸν ἢ θαλάσσας ἢ πηγὴν ἢ μητέρα καὶ γυναῖκα γραΐδα· εἰ δὲ μηδεὶς τῶν ἀστέρων τὴν πορείαν ποιῶν εὑρίσκεται ἐπὶ τοῦ θ′ κατὰ τὴν πεύσεως ὥραν, ὅρα τὸν ὄντα ἐπὶ τοῦ ὑπογείου· εἰ δὲ οὐδὲ ἐπὶ τούτου, ἰδὲ τὸν ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἢ τοῦ δύνοντος ἢ τοῦ τρίτου λάμβανε καὶ κατὰ τὴν κρίσιν τῶν ἐπὶ τοῦ ἐνάτου τυχόντων. τεκμαίρου καὶ ἐπὶ τούτων καὶ ἐπ᾽ ἀγαθὸν μὲν τὸ ὅραμα γενέσθαι, ἐπὰν οἱ κύριοι τοῦ ἐνάτου καὶ τοῦ τρίτου καλῶς ἵστανται καὶ ὑπὸ ἀγαθοποιῶν ὁρῶνται· ἐπὶ κακῷ δὲ καὶ βλάβῃ, ὅταν τοὐναντίον κακῶς κείμενοι ὦσι κατὰ τὸ κοσμικὸν καὶ ὑπὸ κακοποιῶν ὁρῶνται.

Χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι ἐπετήρησαν τὴν πρώτην ἡμέραν ἀπὸ συνόδου· τὴν δὲ δευτέραν καὶ τὴν τρίτην οὐκ ἐπιτηδείας· λυπηρὰ γάρ τὰ θεαθέντα· τετάρτῃ δὲ καὶ πέμπτῃ καὶ ἕκτῃ ἀποβαίνειν τὰ ὀφθέντα· τῇ δὲ ἑβδόμῃ ἐν τέσσαρσιν ἡμέραις ἀποβαίνειν, ἐν δὲ τῇ ὀγδόῃ, χρόνῳ· ἐν δὲ τῇ ἐνάτῃ, ἀνεκβάτους τοὺς ὀνείρους εἶναι· ἐν δὲ τῇ δεκάτῃ καὶ ἑνδεκάτῃ, εἴσω τεσσάρων ἡμερῶν· ὁμοίως δωδεκαταίας οὔσης καὶ τρισκαιδεκαταίας μετὰ τοῦ καὶ αἰσίως· ἡ δεκάτη καὶ τετάρτη ἱλαρίας σημαντική· ἡ δεκάτη καὶ πέμπτη ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ· ἡ δεκάτη καὶ ἕκτη, δεκάτη καὶ ἑβδόμη, δεκάτη καὶ ὀγδόη, δεκάτη καὶ ἐνάτη ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμερῶν δέκα· ἡ δὲ εἰκὰς <καὶ> μία καὶ εἰκὰς κοινή, ἡ δὲ δευτέρα καὶ εἰκὰς περὶ χρῆμα ἐπιτελεῖ τὰ τοῦ ὀνείρου· ἡ τρίτη καὶ εἰκὰς

2 ἐπαγόμενον cod. 9 δωδεκάτροπον] cf. Boll, *Sphaera*, 310, 5; Heeg, *Die angebl. Orph.* Ἔργα κ. Ἡμ. 63, 1. 10 εἶναι om. cod. 11 θηρία corr. ex πηρία. 14 ἀργυρὰ καὶ νομίσματα cod. 15 ὑπινέμιον cod. 22 καὶ λάμβανε κ. τ. κρ. <ἀντὶ> Boll. 24 ἵστανται cod. 35 ἡ addidi. 37 καί add. Boll. 38 δευτέρα corr. ex β′ cod.

ἐν ἡμέραις ὀκτώ· ἡ δὲ τετάρτη καὶ εἰκὰς ἐν δώδεκα· ἡ πέμπτη καὶ εἰκὰς ἐν εἴκοσι καὶ τέσσαρσιν· ἡ ἕκτη καὶ εἰκὰς ἀτέλεστα· ἡ ἑβδόμη καὶ εἰκὰς τέλος ἐπάξει· ἡ δὲ ὀγδόη καὶ εἰκὰς καὶ ἐνάτη καὶ εἰκὰς ἐν τρισὶν ἡμέραις· ἡ δὲ τριακὰς ἀνεκβάτους.

[F. 136.] Ἐκλογαὶ τῶν ἡμερῶν ἀπὸ τῶν τῆς Σελήνῆς μονῶν[1].

Κριός Σουρουτάιν:	ἀγαθὴ εἰς συνάντησιν βασιλέων καὶ ἀγορὰν ἀλόγων.
Κριός Πουτάιν	ἀγαθὴ εἰς τὸ πασιάζειν τὰ ἄλογα καὶ εἰς φλεβοτομεῖν.
Ταῦρος Πλειάς	ἀγαθὴ εἰς τὴν σφαγὴν τῶν λεόντων καὶ εἰς τὰ κτίσματα.
Ταῦρος Λαμπρὸς Ὑάδων	ἀγαθὴ εἰς καταβολὴν θεμελίων καὶ εἰς γάμους.
Δίδυμοι Χάκγα	ἀγαθὴ εἰς φυτείαν φυτῶν καὶ ἐκκοπὴν ὀνύχων.
Δίδυμοι Ἀλιαγά	ἀγαθὴ εἰς κοινωνίαν καὶ μάχην καὶ πολιορκίαν πόλεων.
Καρκίνος Βραχίων	ἀγαθὴ εἰς τὸ σπείρειν καὶ ἐνδυσίαν νέων ἀμφιβόλων καὶ βαλανείων χρῆσιν.
Καρκίνος Νάθρα	ἀγαθὴ εἰς βοηθημάτων πόσιν καὶ κοσμίων ποίησιν.
Καρκίνος Τάρφ	ἀγαθὴ εἰς στρατείαν διὰ τῆς ξηρᾶς καὶ ἀνασκαφὴν ποταμῶν καὶ φρεάτων.
Λέων Ζέπεχε	ἀγαθὴ εἰς καταβολὴν κτισμάτων καὶ κερδῶν.
Λέων Ζέπρα	ἀγαθὴ εἰς τὸ ἐπιβαίνειν ἀλόγοις καὶ ἀπόκαρσιν τῶν τριχῶν.
Παρθένος Ζάρφε	ἀγαθὴ εἰς ἀγορὰν ἀνδραπόδων καὶ κοσμίων ἀμφίασιν.
Παρθένος Ἄουε	ἀγαθὴ εἰς στρατείαν τὴν διὰ ξηρᾶς καὶ ἀγορὰν ἀνδραπόδων.
Παρθένος Ἀρκτοῦρος	ἀγαθὴ εἰς ἀγορὰν δούλων καὶ κοινωνίαν.
Ζυγός Γαφάρ	ἀγαθὴ εἰς τὸ σπείρειν καὶ εἰς πόσιν βοηθημάτων.

3 ἐπέξει cod. 4 τριακάς] λʹ cod. 6 Pro singulis zodiis posita sunt signa astronomica. 8 πασιάζειν non inveni in lexicis. 16 ἀλιαγά arab. alchan'a. 22 διὰ addidi. 23 ἀνασκαφῆς cod.

[1] Sunt maximam partem nomina arabica stationum lunae; cf. Ginzel, ***Die astronom. Kentnisse der Babylonier***, in Lehmannii ***Beiträge zur alten Geschichte***, I, 20 sqq.

Ζυγός Ζεπένε	ἀγαθὴ εἰς συνάντησιν συμβούλων καὶ μεγιστάνων.
Σκορπίος Στέφανος	ἀγαθὴ εἰς ἀγορὰν ἀλόγων καὶ πόσιν βοηθημάτων.
Σκορπίος Ἀντάρης	ἀγαθὴ εἰς φυτείαν φυτῶν καὶ κτισμάτων.
Σκορπίος Σέουλε	ἀγαθὴ εἰς πολιορκίαν πόλεων καὶ μάχην ἐχθρῶν.
Τοξότης Νεγάϊμ	ἀγαθὴ εἰς ἀγορὰν ἀλόγων καὶ κοινωνίαν.
Τοξότης Ἠριδανὸς	ἀγαθὴ εἰς καταβολὴν θεμελίων καὶ σπορᾶς.
Αἰγόκερως Δέπεχ	ἀγαθὴ εἰς ἐμπορίαν καὶ στρατείαν τὴν διὰ ξηρᾶς καὶ κτισμάτων.
Αἰγόκερως Πούλαγ	ἀγαθὴ εἰς συνάντησιν φίλων καὶ στρατείαν.
Ὑδροχόος Σουγούδε	ἀγαθὴ εἰς πόσιν βοηθημάτων καὶ ἀποστολὴν πρέσβεων.
Ὑδροχόος Ἄχπιε	ἀγαθὴ εἰς ἀγορὰν κτηνῶν καὶ στρατείαν καὶ ἐμπορίαν.
Ἰχθύες Μουκάδιμ	ἀγαθὴ εἰς τὸ γραμματισταῖς παραδοῦναι τοὺς παῖδας.
Ἰχθύες Μουάχαρ	ἀγαθὴ εἰς τὸ ἰατρεύειν τοὺς ἀρρώστους καὶ πόσιν βοηθημάτων.
Ἰχθύες Ῥάσα	ἀγαθὴ εἰς τὸ πιεῖν τὰ κενωτικὰ βοηθήματα καὶ εἰς γάμους.

Liceat addere simillimum capitulum ex cod. Paris. gr. 2419 f. 27 excerptum, cuius apographum eximiae Francisci Cumont liberalitati debeo.

[F. 27.] Ἡ παροῦσα θέσις δεικνύει τὴν Σελήνην τὸ μὲν κατ' Αἰγυπτίους πῶς εὑρίσκεται με τοὺς κη' ἀπλανεῖς ἀστέρας εἰς τὸ αὐθημερινὸν κίνημα αὐτῆς καὶ .... μετὰ τῶν εἰς τὰ ιβ' ζῴδια ἐντός· καλοῦσι δὲ ταῦτα οἱ Αἰγύπτιοι τζήλια, τουτέστι μονάς.

Σουρατάιν	ἀγαθὸν εἰς καβαλλικεύειν καὶ κυνηγεῖν.	Ἀνδρομέδα.
Πουτάιν	καλὸν εἰς ἀγορὰν τετραπόδων καὶ νέα κόπτειν καὶ φορεῖν.	Ὀιστός.
Σουρεντιά	ἐναντίον εἰς πᾶν πρᾶγμα.	Αἴξ.
Τεπεράν	ἐναντίον εἰς πᾶσαν δουλείαν.	Ἀετός.

19-22 Tria ultima nomina differunt ab eis quae Ginzel, l. c. tradit. 25 τὸ μέν] το cod. 25-26 κατ' γυπτίων cod. 27 post καί habet codex $\overset{\alpha}{\div}$. non intellego. 29 εἰς καβάλαν καὶ κυνήγην cod. Ἀνδρομέδας cod. 33 εἰς παντὶ πράγματι cod. 34 post Ἀετός addit codex : ὅδε ἐστὶν ὁ τόπος ἵππου.

Χάνκα	ἀγαθὸν εἰς δέησιν καὶ δουλείας καὶ εἰς ταξείδιον.	Δελφίς.
Χάναα	καλὸν πολλὰ εἰς πᾶσαν δουλείαν καὶ εἰς ταξείδιον.	Λαγωός.
Ζυράχ	ἀγαθὸν νέα κόπτειν καὶ φορεῖν καὶ ὁμιλεῖν ἄρχουσιν.	Ἀρίων.
Νεθρά	καλὸν τὸ θεωρεῖν μεγιστάνους μεσάζουσιν καὶ νέα φορεῖν.	Ἡνίοχος.
Ταρφά	καλὸν εἰς ἀρχὴν δουλείας, εἰς γάμους καὶ ὁμιλίας καὶ ταξείδιον.	Λύρα.
Τεπχά	ἀγαθὸν τὸ ὁμιλεῖν μεγιστᾶσιν καὶ νέα κόπτειν καὶ φορεῖν.	Ἔριφοι.
Ζεπρά	ἐναντίον εἰς πᾶσαν δουλείαν.	Στέφανος.
Ζερφά	ἐναντίον εἰς φλεβοτομίαν καὶ συρίγγωμαν.	Πλειάδες.
Ἀββά	καλὸν ὁμιλεῖν γραμματικοῖς καὶ μεγιστᾶσιν καὶ κτᾶσθαι δωρεάς.	Ὑάδες.
Σιμάκ	ἐναντίον εἰς πᾶσαν δουλείαν.	Κηφεύς.
Γαφάρ	καλὸν εἰς πᾶσαν δουλείαν καὶ νέα φορεῖν καὶ εἰς ταξείδιον.	Προκύων.
Ζαπανά	ἐναντίον ἐστιν καὶ χρὴ ἠρεμεῖν καὶ ἡσυχάζειν.	Βασιλίσκος.
Ἐκλήλ	ἐναντίον καὶ τοῦτο ὥσπερ τὸ ἄνω.	Προτρυγητήρ
Κάλπ	ὅμοιον καὶ τοῦτο.	Κένταυρος.
Σουλλά	ὅμοιον καὶ τοῦτο ὡς τὰ ἄνωθεν.	Ἀντάρης.
Ναάήμ	ἐναντίον καὶ τοῦτο.	Ἀρκτοῦρος.
Πελτά	καλὸν ἐν παντὶ καὶ σπείρειν.	Κύων.
Ζαπήλ	καλὸν ὁμιλεῖν μεγιστᾶσιν καὶ ἄρχουσιν καὶ κτᾶσθαι δωρεάς.	Ὄρνις.
Πόλοχ	καλὸν ὥσπερ καὶ τὸ ἄνω καὶ νέα φορεῖν.	Κρατήρ.
Σοούτ	καλὸν τὸ νέα κόπτειν καὶ φορεῖν καὶ μεγάλα δουλείας ἄρξασθαι.	Ἀργώ.
Ἀχπιά	καλὸν εἰς παράπηξιν κάστρου καὶ τρυγᾶν αὐτοτελῶς καὶ καταπατητᾶν.	Ὀφιοῦχος.

2 ταξείδιον iter, peregrinatio. 5 Ἀρίων pro Ὠρίων; cf. Boll, *Sphaera*, p. 117. 7 του θεωρεῖν cod. 9 εἰ $\overset{\mu'}{\gamma\acute{\alpha}}$ cod. 11 του ὁμιλεῖν μεγιστάνους cod. ἐρύφια cod. 16 γραματικούς cod. 17 κτᾶσθαι] $\overset{\sigma\theta}{\epsilon\tau\acute{\alpha}}$ cod. 27 σπέρειν cod. 28 μεγιστάνους cod. 29 κτᾶσθαι] vide supra. 32 του νέα κόπτειν cod. 33 δουλείας] δολείας vel δελεῖας cod. 34 παράπηξιν] παράπεσιν cod. corr. Boll. 35 τρυπᾶν cod. conieci τρυγᾶν. αὐτοτελῶς] αὐτὸ στελ... cod. corr. Boll. κατὰ πατητᾶς sic cod.

Μουκατάμ	καλὸν τὸ βλέπειν αὐθέντας καὶ ἄρχοντας καὶ νέα φορεῖν.	Ἴκτινος.
Μουαχάρ	καλὸν ὥσπερ καὶ τὸ ἄνω.	Ὄνος.
Ράσα	καλὸν ἐν παντὶ πλὴν εἰς δεσμοὺς καὶ γάμους.	Ἵππος.

[F. 136v.] Αἱ ἀπὸ τῶν ζῳδίων ἐκλογαί.

Εἰς συνάντησιν βασιλέων συμβάλλεται ὁ Κριός, Ταῦρος, Δίδυμοι, Λέων, Τοξότης, Ὑδροχόος, Ἰχθύες· μὴ καλὸς ὁ Καρκίνος, Ζυγός, Σκορπίος, Αἰγόκερως· μέση δὲ ἡ Παρθένος.

Εἰς φλεβοτομίαν καὶ συκιασμὸν καλὸς ὁ Κριός, Λέων, Ὑδροχόος· μέσος Καρκίνος, Τοξότης, Ἰχθύες· ἐναντίος Ταῦρος, Δίδυμοι, Παρθένος, Ζυγός, Σκορπίος, Αἰγόκερως.

Πρὸς τὸ λούεσθαι καλὸς ὁ Κριός, Καρκίνος, Λέων, Σκορπίος, Τοξότης, Ἰχθύες· ἐναντίος Ταῦρος, Δίδυμοι, Παρθένος, Ζυγός, Αἰγόκερως, Ὑδροχόος.

Πρὸς ἀπόκαρσιν τῶν τριχῶν καλὸς ὁ Κριός, Δίδυμοι, Καρκίνος, Ζυγός, Τοξότης, Ὑδροχόος, Ἰχθύες· κακὸς Ταῦρος, Λέων, Παρθένος, Αἰγόκερως· μέσος Σκορπίος.

Εἰς ἐκκοπὴν ὀνύχων καλὸς ὁ Κριός, Ταῦρος, Καρκίνος, Λέων, Ζυγός, Σκορπίος, Ὑδροχόος· μέσος Αἰγόκερως· ἐναντίοι Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες.

Εἰς ἀποστολὴν ἀποκρισιαρίων καλὸς ὁ Κριός, Δίδυμοι, Καρκίνος, Παρθένος· μέσος Ταῦρος, Λέων, Ζυγός, Τοξότης, Ὑδροχόος, Ἰχθύες· ἐναντίος Σκορπίος, Παρθένος.

Εἰς μετάβασιν καὶ κίνησιν καλὸς Ταῦρος, Ὑδροχόος· μέσοι Δίδυμοι, Λέων, Ζυγός, Τοξότης· ἐναντίος Κριός, Καρκίνος, Παρθένος, Σκορπίος, Αἰγόκερως.

Εἰς κτίσιν καὶ οἰκοδομὴν καλὸς Ταῦρος, Παρθένος, Σκορπίος, Ὑδροχόος, Ἰχθύες· μέσοι Δίδυμοι, Λέων, Ζυγός· ἐναντίος Κριός, Καρκίνος, Τοξότης, Αἰγόκερως.

Εἰς <συγ>κοπὴν ἱματίων καὶ περιβολὴν τούτων καλὸς Κριός, Καρκίνος, Παρθένος, Ζυγός, Τοξότης, Αἰγόκερως, Ἰχθύες· ἐναντίος Δίδυμοι, Ταῦρος, Λέων, Σκορπίος, Ὑδροχόος.

Εἰς πόσιν τῶν κενωτικῶν φαρμάκων καλὸς Καρκίνος, Ζυγός, Σκορπίος, Ἰχθύες· μέσος Κριός, Δίδυμοι, Τοξότης, ἐναντίος Ταῦρος, Λέων, Παρθένος, Αἰγόκερως, Ὑδροχόος.

Εἰς συζυγίαν καλὸς Ταῦρος, Λέων· μέσος Δίδυμοι, Παρθένος,

1 του βλέπειν cod. 3 Ὄρος cod.; Ὄνος Cumont. 4 ρσσά cod. 7 συμβάλεται cod, Pro singulis zodiis librarius semper signa astronomica posuit. 8 καλόν cod. 9 μέσον cod. 10 καλόν cod. (sic semper). 20 ἐναντίον cod. 25 μέσον cod. 29 μέσον cod. 31 κοπήν cod.

Τοξότης· ἐναντίος Κριός, Καρκίνος, Ζυγός, Σκορπίος, Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες.

Εἰς εἴσοδον πόλεων καλὸς Ταῦρος, Λέων, Ὑδροχόος· μέσοι Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες· ἐναντίος Κριός, Καρκίνος, Ζυγός, Σκορπίος, Αἰγόκερως.

Εἰς ἐξέλευσιν πόλεων καλὸς Κριός, Καρκίνος, Ζυγός, Αἰγόκερως· μέσοι Δίδυμοι, Παρθένος· ἐναντίος Ταῦρος, Λέων, Σκορπίος, Τοξότης, Ὑδροχόος.

Εἰς πορείαν διὰ ξηρᾶς καλὸς Κριός, Ταῦρος, Παρθένος, Ζυγός, Αἰγόκερως· μέσοι Διδύμοι, Τοξότης· ἐναντίος Καρκίνος, Λέων, Σκορπίος, Ὑδροχόος.

Πρὸς τὴν διὰ θαλάσσης πορείαν καλὸς Καρκίνος, Ἰχθύες· μέσος Ταῦρος, Ζυγός, Ὑδροχόος· ἐναντίος Κριός, Δίδυμοι, Λέων, Παρθένος, Σκορπίος, Τοξότης, Αἰγόκερως.

[F. 137.] Καὶ ἄλλως αἱ ἐκλογαὶ τῶν ἡμερῶν ἐκ τοῦ εἶναι τὴν Σελήνην εἰς ἕκαστον τῶν δώδεκα ζῳδίων, ἥτις ἐκλογή ἐστι καὶ πλατυτέρα.

Σελήνη ἐν Κριῷ ἐπιτηδεία ἐστὶ πρὸς τὸ ἐποχεύειν ἵππους καὶ εἰς τὸ λούεσθαι καὶ εἰς τὸ ἀγοράζειν τετράποδα ζῷα καὶ λίθους τιμίους καὶ σίδηρον καὶ χαλκώματα καὶ εἰς τὸ κτίσαι πλοῖον καὶ ἀποπλεῦσαι αὐτὸ καὶ εἰς τζουκανίζειν καὶ κόπτειν ὄνυχας καὶ ποιεῖν ἀναγαργαρισμὸν εἰς ἐμετὸν καὶ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν αὐτὰ καὶ ἀποδημεῖν διὰ ξηρᾶς· ἀνεπιτήδειος δέ ἐστιν εἰς ἀγορὰν ψυχαρίου καὶ εἰς μετοικισμὸν καὶ εἰς τὸ ἀποδημεῖν διὰ θαλάσσης.

Σελήνη ἐν Ταύρῳ ἐπιτηδεία εἰς μετοικισμὸν καὶ εἰς τὸ ἀποδημεῖν καὶ εἰς ἀγορὰν περιβόλων καὶ εἰς τὸ ἀσχολεῖσθαι περὶ κτίσματα καὶ εἰς ἐμετὸν καὶ εἰς γάμον καὶ εἰς τὸ δανείζεσθαι καὶ εἰς τὸ πιπράσκειν πλοῖα καὶ εἰς τὸ κόπτειν ὄνυχας καὶ φυτεύειν δένδρα καὶ εἰς τὸ ἀποκόψαι παιδίον ἀπὸ τοῦ βιζύου· ἀνεπιτήδειος δέ ἐστιν εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν αὐτὰ καὶ συκιάζειν ἐν τῷ τραχήλῳ.

Σελήνη ἐν Διδύμοις ἐπιτηδεία εἰς τὸ κυνηγᾶν καὶ εἰς τὸ [f. 173v] παίζειν ταυλὶν καὶ ζατριζὰν καὶ ἕτερα διάφορα παιγνίδια καὶ εἰς γάμον

3 μέσον cod. 7-10 et 42 μέσον cod. 15 αἱ add. man. alt. 17 καί ἐστι cod. 21 τζουκανίζειν vel τζυκανίζειν i. e. pila in equis ludere; v. Du Cange, *Gloss. med. et inf. Graec.* s. v. 23 ἀνεπιτήδειον cod. 25 in margine signum Tauri. 26 περί addidi. 28 inter τὸ et κόπτειν in cod. spatium duarum triumve litterarum. De unguium resectorum in magia usu cf. Kroll, *Catal.*, VI, p. 87, adn. 9. 29 ἀνεπιτήδειον cod. εἰς addidi. 31 in margine signum Geminorum. κυνηγᾶν] Cf. G. N. Hatzidakis, *Einleit. in die neugriech. Gramm.*, p. 127 sqq.; A. Thumb, *Handbuch der neugriech. Volkssprache*, § 186 sqq.; A. N. Jannaris, *An hist. Greek Grammar*, § 852. 32 ταυλὶν καὶ ζατριζάν] cf. *Catal.*, IV, p. 127.

καὶ εἰς τὸ ποιεῖν κουντουκερνίαν καὶ συναλλάττειν μετά τινων καὶ εἰς ἀγορὰν ψυχαρίου καὶ εἰς τὸ δανείζεσθαι καὶ εἰς τὸ πιπράσκειν πλοῖα καὶ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια καὶ εἰς τὸ διδόναι παιδίον εἰς μαθήματα λογικά· ἀνεπιτήδειος δὲ εἰς τὸ φλεβοτομεῖν καὶ εἰς τὸ κόπτειν ὄνυχας.

Σελήνη ἐν Καρκίνῳ ἐπιτηδεία εἰς τὸ ὀρύσσειν φρέατα καὶ εἰς τὸ ἁλιεύειν καὶ εἰς τὸ πλέειν καὶ εἰς τὸ πιπράσκειν πλοῖα καὶ εἰς τὸ τζουκανίζειν καὶ εἰς τὸ κόπτειν ὄνυχας καὶ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν αὐτὰ καὶ εἰς τὸ ἀποδημῆσαι διὰ θαλάσσης καὶ εἰς χρῆσιν καθαρσίων· ἀνεπιτήδειος δέ ἐστιν εἰς τὸ ποιῆσαι γάμον καὶ εἰς σχολὴν γυναικείων ὑποθέσεων.

Σελήνη ἐν Λέοντι ἐπιτηδεία εἰς τὸ λουθῆναι καὶ εἰς τὸ κτίσαι κάστρα καὶ παλάτια καὶ εἰς τὸ δανείζεσθαι καὶ κόπτειν ὄνυχας καὶ εἰς τὸ εἰσέρχεσθαι εἰς γυναῖκας ἐνδόξους καὶ προσέρχεσθαι βασιλεῖ [f. 138] καὶ εἰς τὸ μετοικῆσαι καὶ εἰς τὸ ἀποδημῆσαι καὶ εἰς τὸ ἰατρεύειν νόσον καρδιακήν καὶ ἡπατικὴν καὶ εἰς τὸ κατάρχεσθαι ἔργων τινῶν, ἅ εἰσι στερεά· ἀνεπιτήδειος δέ ἐστιν εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν αὐτά· ὡσαύτως καὶ εἰς ἀγορὰν δούλων.

Σελήνη ἐν Παρθένῳ ἐπιτηδεία εἰς τὸ κατασπεῖραι καὶ εἰς τὸ κουντουκερνεῖν καὶ εἰς τὸ εἰσέρχεσθαι εἰς χηρευούσας γυναῖκας καὶ εἰς τὸ πιπράσκειν πλοῖα καὶ εἰς τὸ δοῦναι παιδία εἰς μαθήματα λογικὰ καὶ παιδεύειν αὐτὰ καὶ εἰς τὸ ἐξωνήσασθαι δούλους καὶ χρῆσθαι καθαρσίοις· ἀνεπιτήδειος δέ ἐστιν εἰς τὸ ἀγοράζειν καὶ εἰς τὸ προσέρχεσθαι ἐνδόξοις.

Σελήνη ἐν Ζυγῷ ἐπιτηδεία εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια καὶ εἰς τὸ ἐξωνήσασθαι δούλους, ὡσαύτως καὶ εἰς μουσικὰς τέχνας καὶ λοιπὰ ὅμοια καὶ εἰς τὸ ἀποπλεῦσαι πλοῖα καὶ κόψαι ὄνυχας καὶ εἰς τὸ χαίνεσθαι καὶ κυνηγᾶν διὰ ἱερακίων· ἀνεπιτήδειος δέ ἐστιν εἰς τὸ κατάρξασθαι κτίσματος [f. 138v] καὶ τὸ εἰσέρχεσθαι γυναῖκα εἰς ἄνδρα.

Σελήνη ἐν Σκορπίῳ ἐπιτηδεία εἰς τὸ χρῆσθαι καθαρσίοις καὶ εἰς τὸ διδόναι ὀσπήτια ἐν οἰκίσκῳ καὶ εἰς τὸ ἀποδημεῖν καὶ εἰς τὸ κόπτειν ὄνυχας καὶ εἰς μετοικισμὸν καὶ εἰς ἀγορὰν πλοίου καὶ λίθων καὶ πραγμάτων διαφόρων καὶ εἰς φλεβοτομίαν· ἀνεπιτήδειος δὲ εἰς τὸ περιτεμεῖν καὶ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια καὶ εἰς ἀγορὰν ψυχάριου.

Σελήνη ἐν Τοξότῃ ἐπιτηδεία εἰς τὸ λούσασθαι καὶ εἰς τὸ συγκόπτειν

1 κουντουκερνία vel κουτουκ. in lexicis deest. An κοντουβερνίαν emendandum est? 3 αὐτά post φορεῖν add. cod. delevi. 5 ante κόπτειν habet cod. spatium trium quattuorve litterarum. 6 in margine signum Cancri. 12 in margine signum Leonis. κτίσειν cod. correxi. 16 ἔργα τινά cod. 19 in margine signum Virginis. 22 χρᾶσθαι cod. 23 ἀγοράζειν] ἐγκράζειν cod. corr. Boll. 25 in margine signum Iugi. 26 et 27 εἰς et τέχνας addidi. 30 in margine signum Scorpionis. χρᾶσθαι cod. 31 ἐν οἰκίσκῳ] ἐνοικικῷ cod. 36 in margine signum Sagittarii.

ἱμάτια καὶ φορεῖν καινούργια καὶ εἰς τὸ ἐξωνήσασθαι ἅρματα καὶ διδάσκεσθαι τοξεύειν καὶ ἀγοράζειν δούλους ἐν τῇ ἀρχῇ τοῦ Τοξότου, ὁμοίως καὶ εἰς κοινωνίαν καὶ εἰς τὸ ἰατρεύειν τοὺς ἁρμοὺς ἀπὸ πλησμονῆς χολῆς καὶ εἰς τὸ ἐξωνήσασθαι ἄλογα καὶ κυνηγᾶν· ἀνεπιτήδειος δὲ εἰς ἀγορὰν ἀκινήτων καὶ περιβόλων καὶ εἰς τὸ μανθάνειν τινὰ καβαλλικεύειν καὶ ἐλαύνειν.

Σελήνη ἐν Αἰγοκέρωτι ἐπιτηδεία εἰς τὸ ὀρύσσειν φρέατα [f. 139] καὶ εἰς τὸ κτίζειν κινστέρνας καὶ ἀγωγοὺς καὶ ξενοδοχεῖα καὶ εἰς τὸ ἐνοικιάζειν ὀσπήτια καὶ τζουκανίζειν καὶ πλέειν καὶ εἰς τὸ ἐξωνεῖσθαι τετράποδα ζῶα· ἀνεπιτήδειος δὲ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια καὶ εἰς τὸ λούεσθαι καὶ εἰς τὸ συκιάζειν.

Σελήνη ἐν Ὑδροχόῳ ἐπιτηδεία εἰς μετοικισμὸν καὶ ὁδοιπορίαν καὶ εἰς τὸ θεμελιῶσαι οἰκίαν καὶ εἰς τὸ δανείζειν καὶ εἰς περιποίησιν ἁρμάτων καὶ εἰς ἀγορὰν ὄρνεων ἀγρίων βλαπτόντων καὶ εἰς γάμον καὶ εἰς παιδείαν καὶ εἰς ἰατρείαν γονάτων· ἀνεπιτήδειος δὲ εἰς ἰατρείαν σκελῶν καὶ εἰς τὸ ἐκβάλλειν αἷμα ἀπὸ ὅλου τοῦ σώματος.

Σελήνη ἐν Ἰχθύσιν ἐπιτηδεία εἰς τὸ διδάσκεσθαί τινα πλέειν καὶ ἀποδημεῖν διὰ θαλάσσης καὶ χρᾶσθαι καθαρσίοις καὶ λούεσθαι καὶ εἰς τὸ κατασκευάζειν ὅσα ἐξ ὑγρῶν καὶ μᾶλλον ἐκ θαλασσίας παρασκευῆς καὶ φυτεύειν μεγάλα δένδρα καὶ εἰς τὸ ἡσυχάζειν καὶ εἰς τὸ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια καὶ ἀποκόπτειν παιδίον ἀπὸ τοῦ βιζύου καὶ εἰς τὸ κόπτειν τρίχας καὶ ἰατρεύειν ποδαλγίας· ἀνεπιτήδειος δὲ εἰς τὴν τῶν σκελῶν χειρουργίαν καὶ εἰς ἀγορὰν δούλων ἰσχνῶν.

[F. 143.] Περὶ τῶν ζῳδίων λέγει ὁ Σαραπίων οὕτως[1].

Περισσομελῆ ζῴδιά εἰσι τὰ τοῖς μέλεσι πλεονάζοντα Ταῦρος, Καρκίνος, Παρθένος, Σκορπίος, Τοξότης, Δίδυμοι, Ὑδροχόος, Ἰχθύες, Αἰγόκερως, Λέων· Ταῦρος μὲν διὰ τὴν Πλειάδα, Καρκίνος διὰ τὸ Νεφέλιον, Παρθένος διὰ τὸν Στάχυν, Σκορπίος διὰ τὸ Κέντρον, Τοξότης διὰ τὴν Ἀκίδα, Δίδυμοι διὰ τὴν Λύραν, Ὑδροχόος διὰ τὴν Κάλπιν, Ἰχθύες διὰ τὸ Λίνον, Αἰγόκερως διὰ τὴν Οὐρὰν τὴν περικαμπῆ, Λέων δὲ μᾶλλον διὰ τοὺς Ἰχθύας πολυκίνητον καὶ ἀντικείμενον αὐτῷ.

Πάρυγρα δὲ Λέων ὁ αὐτός, Ὑδροχόος διὰ τὸν Ἠριδανόν, Αἰγόκερως διὰ τὸ Οὐραῖον, Τοξότης διὰ τὸ Πλοῖον [τῆς Ἀργοῦς] καὶ τὸ ὑποκείμενον πέλαγος.

7 in margine signum Capricorni. 21 βιζύου] cf. Du Cange s. v. βύζα; Ang. Vlachos, *Lex. hellenogall.*, Athen, 1897, s. v. βυζί. 24 Pro singulis zodiis posuit librarius signa astronomica. 27 Λέων om. cod. 31 ἑαυτῷ cod. 33 Πλοῖον] cf. Boll, *Sphaera*, p. 173. τῆς Ἀργοῦς uncinis secl.

[1] Cf. de argumento *Catal.*, I, p. 164; IV, p. 152 et tractatum anonynum ap. Maximum ed. Ludwich, p. 105-110.

Ἑλικοειδὲς Αἰγόκερως.

Μονογενὲς Ὑδροχόος.

Λεπιδωτὰ Αἰγόκερως, Ἰχθύες.

Δίμορφα Τοξότης, Αἰγόκερως, Ἰχθύες.

Χερσαῖον Σκορπίος καὶ ὁ Τοξότης ἀπὸ μέρους.

Κεντρωτὸν καὶ αὐτογέννητον Σκορπίος.

Ξιφῆρες Παρθένος.

Κυρτὰ Σκορπίος, Ταῦρος, Ἰχθύες, Καρκίνος, Λέων, Τοξότης, Αἰγόκερως, Κριός.

Νευρώδη Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες.

Ἡγεμονικὰ Κριός, Λέων, Τοξότης.

Θηριώδη Ταῦρος, Λέων, Σκορπίος, Αἰγόκερως, ἐκ μέρους δὲ καὶ ὁ Τοξότης.

Ἀνθρωποειδῆ Δίδυμοι, Παρθένος, Ζυγός, Ὑδροχόος καὶ Τοξότης ἐκ μέρους.

Πολύσπορα Καρκίνος, Σκορπίος, Ἰχθύες.

Πολύγονα Καρκίνος, Ἰχθύες, Σκορπίος.

Ἄγονα Παρθένος, Αἰγόκερως, Ταῦρος.

Στειρώδη Λέων, Παρθένος.

Μελεοκοπούμενα Κριός, Λέων, Ταῦρος, Σκορπίος, Αἰγόκερως, Ἰχθύες, Καρκίνος.

Χερσαῖα Κριός, Ταῦρος, Δίδυμοι, Λέων, Παρθένος, Σκορπίος, Ζυγός.

Ἀμφίβια Καρκίνος, Αἰγόκερως.

Κάθυγρα Καρκίνος, Ὑδροχόος, Ἰχθύες, Αἰγόκερως.

Σπαστικὰ Σκορπίος, Αἰγόκερως, Καρκίνος, Ἰχθύες.

Λατρώδη Καρκίνος, Σκορπίος, Αἰγόκερως, Ἰχθύες, Κριός, Ταῦρος.

[F. 144.] Περὶ τοῦ γνῶναι πότε φανήσεται κομήτης.

Ἰδὲ ὅτε γένηται ἐγκάρδιος ὁ Ἑρμῆς καὶ πρόσθες τότε τὴν ἐποχὴν τοῦ Ἡλίου ἤτοι τοῦ Ἑρμοῦ, ζῴδια ια′ καὶ μοίρας ι′, καὶ ἀπόλυε τὰ ἐπισυναχθέντα ἐπὶ ιβ′. καὶ ἔνθα κατ᾽ αὐτῆς ὁ ἀριθμὸς <εὑρίσκεται>, ἐν ἐκείνῳ τῷ ζῳδίῳ ὁ κομήτης φανήσεται. καὶ εἰ μέν ἐστι τὸ μεταξὺ αὐτοῦ καὶ τοῦ Ἡλίου διάστημα μοιρῶν ιε′, φανήσεται· εἰ δὲ ἔλαττον ἢ πλέον, οὐ φανήσεται. ἐν ἐκείνῳ δὲ φανήσεται τῷ τόπῳ, ἐν ᾧ ἐστιν ὁ Ἑρμῆς, εἰ μὲν ἑῷος, ἐν τῇ ἀνατολῇ, εἰ δὲ ἑσπέριος, ἐν τῇ δύσει. τὸ δὲ σύμπτωμα γενήσεται τοῦ ἀποτελέσματος ἐν τῇ ᾠκειωμένῃ χώρᾳ τῷ ζῳδίῳ, ἐν ᾧ φανήσεται ὁ κομήτης.

6 αὐτογένητον cod. 25 post Αἰγόκερως librarius repetivit περισσομελῆ Καρκίνος Σκορπίος; delevi. 29-30 τοῦ (ante Ἡλίου) corr. ex αὐτοῦ cod. 31 καταυτῆς vel καταντῆς cod. εὑρίσκεται addidi.

Excerpta ex secundo libro Zahelis Iudaei.

Sahl ben Bišr ben Habîb Iudaeus qui usque ad annum 823 p. Chr. n. apud praefectum regionis Chorâsân vixit, deinde in urbem Bagdadam se contulit, ubi astrologi officio apud El-Hasan, ministrum (vizir) regis el-Mamûn († 851) functus est, libros scripsit plurimos, quos Romanos i. e. Byzantinos magni aestimasse dicunt scriptores arabici (cf. Suter, *Die Mathematiker und Astron. der Araber*, Leipzig, 1900, p. 15, nº 26). Rectissime, nam hos libros partim certe ante saeculum XII graece versos esse ex versibus Iohannis Camateri apparet et Σέχελ auctor plus semel nominatur in codicibus (cf. *Catal.*, II, p. 137; V, p. 1, p. 92 n. 2 et p. 243).

[F. 144.] Παρεξεβλήθησαν ἀπὸ τοῦ δευτέρου βιβλίου [καὶ τοῦ τρίτου] τοῦ σοφωτάτου Ἰουδαίου τοῦ Σὰχλ τοῦ υἱοῦ τοῦ Πὲσρ ταῦτα.

Καὶ τὰ μὲν τοῦ δευτέρου βιβλίου ἔχουσιν οὕτως ἃ καὶ συμβάλλονται τῷ ἐπιστήμονι πρὸς πᾶσαν ἐρώτησιν.

Ἴσθι ὅτι σημειωτικὸς ἀστὴρ ἐκεῖνος λέγεται, ἤγουν ἡ Σελήνη ὡς οὖσα πλησιεστέρα τῇ γῇ τῶν λοιπῶν ἀστέρων, ἐοικυῖα τοῖς πράγμασι τοῦ κόσμου τούτου. καὶ γὰρ οὐ θεωρεῖς τὰ πράγματα πῶς ἐκ μικροῦ ἀρχόμενα αὐξάνονται καὶ αὖθις ἀπὸ αὐξήσεως ἐλαττοῦνται; οὕτω γάρ ἐστι καὶ ἐπὶ τῆς Σελήνης καὶ διὰ τοῦτο δεῖ λαμβάνειν αὐτὴν σημειωτικὴν ἐπὶ παντὸς πράγματος, ἐπειδὴ ἐπὶ ὑποθέσει τινὶ ἀγαθυνομένης τῆς Σελήνης ἀγαθὴ ἔσται καὶ ἡ πρᾶξις, κακουμένης δὲ κακίστη. παρέχει δὲ τὴν κυβέρνησιν αὐτῆς τῷ πρώτως συναπτομένῳ παρ᾽ αὐτῆς ἀστέρι. λέγεται δὲ ὁ τοιοῦτος ἀστὴρ ὁ ὑποδεξάμενος τὴν τοιαύτην κυβέρνησιν.

Μετακομίζει δὲ ἡ Σελήνη πρὸς τοὺς ἀστέρας καὶ μετατίθησιν ἀπὸ τοῦ ἑνὸς ἀστέρος πρὸς τὸν ἕτερον τὰς αὐγὰς αὐτῶν καὶ συμβιβάζει μεταξὺ τούτων.

Καὶ οἱ μὲν κακοποιοὶ δηλοῦσι τὸ φθαρτικὸν τῶν πραγμάτων καὶ κάκιστον διὰ τὸ ὑπερβάλλον τῆς τε θερμότητος καὶ τῆς ψυχρότητος αὐτῶν. καὶ εἰ μὲν ὑπάρχει ἀστήρ τις ἐν οἴκῳ κακοποιοῦ ἢ ὑψώματι συναπτόμενος παρ᾽ αὐτοῦ ἀσυμφώνῳ σχήματι, ἤγουν τετραγώνῳ <ἢ> διαμέτρῳ, ὑποδέχεται τοῦτον ὁ κακοποιὸς καὶ κωλύεται ἐκ τούτου ἡ τοῦ κακοποιοῦ βλάβη διὰ τῆς τοιαύτης ὑποδοχῆς. εἰ δὲ καὶ διὰ συμφώνου σχήματος ἤγουν τριγώνου καὶ ἑξαγώνου γένηται ὁ τούτων συσχηματισμός, κωλύεται καὶ αὖθις ἡ βλάβη αὐτῶν διὰ τὸ τὰ σύμφωνα σχήματα εἶναι φιλικά.

Οἱ δὲ ἀγαθοποιοὶ ἔχουσιν εὐκρασίαν ἐπί τε τῇ ψυχρότητι καὶ τῇ

1-2 καὶ τοῦ τρίτου uncinis seclusi. 9 ἐλλαττοῦνται cod. 21 ἢ addidi. 25 καὶ add. man. altera.

θερμότητι. καὶ ὠφελοῦσι μετά τε ὑποδοχῆς καὶ ἐκτὸς ὑποδοχῆς, [f. 144ᵛ] κρειττόνως δὲ μετὰ ὑποδοχῆς. καὶ ἔνθα ἂν ἴδῃς τοὺς μὲν κακοποιούς, ἀπόφηναι τὸ κακόν, τοὺς δὲ ἀγαθοποιούς, τὸ καλόν.

Ἐπειδὴ ἡ σκέψις διὰ τούτων τῶν δυοῖν γίνεται, ἤγουν τοῦ τε ἀγαθοῦ καὶ τοῦ ἐναντίου, καὶ οὐ λέγεται ἄλλως πως ὁ ἀστὴρ κεκακωμένος ἢ ὅτε γένηται ἐντὸς τῆς ὡρισμένης ἀκτῖνος τοῦ κακοποιοῦ· ὅταν δὲ παρέλθῃ τὰς τοιαύτας τῆς ἀκτῖνος μοίρας, λέγεται τὸ σχῆμα ζῳδιακόν. τὸ δὲ ἐντὸς τῆς ἀκτῖνος σχῆμα λέγεται μοιρικόν. ὅτε οὖν παρέλθωσιν αἱ ἀκτῖνες τοῦ κακοποιοῦ ὡς εἴρηται καί ἐστιν ὁ συσχηματισμὸς ζῳδιακός, φόβον μόνον σημαίνει, οὐ βλάβην δέ. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἀγαθοποιῶν χαρὰν μόνην σημαίνει, οὐκ ὠφέλειαν δέ.

Ἡ Σελήνη ὅτε κενοδρομεῖ, σημαίνει ἀπραξίαν καὶ ὑποστροφὴν κενὴν καὶ φθορὰν τῶν δουλειῶν. ὁ συσχηματισμὸς τῆς Σελήνης δηλοῖ τὸ περατωθῆναι τὸ ζητούμενον κατὰ τὴν τοῦ συσχηματιζομένου παρ᾿ αὐτῆς ἀστέρος <ποσότητα>. καὶ εἰ μὲν ἀγαθοποιός ἐστιν ὁ ἀστήρ, ἀγαθὴν σημαίνει καὶ τὴν περάτωσιν, εἰ δὲ κακοποιός, κακίστην.

Ἡ ἀπόρροια τῆς Σελήνης δηλοῖ τὰ παρεληλυθότα πράγματα.

Ὁ ἀστὴρ ἐν τῷ ἰδίῳ ταπεινώματι ὢν δηλοῖ τὸν φρουρισμὸν καὶ τὴν λύπην. ὁ ἀναπεποδισμένος ἀστὴρ δηλοῖ ἀνταρσίαν καὶ μεταβολὴν τοῦ ἀνθρώπου. ἀπὸ τῆς διαγωγῆς, ᾗ ἔστι καὶ ταπείνωσιν καὶ τὸ ἀλληνάλλως γίνεσθαι αὐτήν. ὁ στηρίζων ἀστὴρ πρὸς ἀναποδισμὸν δηλοῖ πλάνην τοῦ ἀνθρώπου καὶ ἄγνοιαν ἐπὶ τοῖς πράγμασι. καὶ εἰ μέν ἐστι βραδύτατος ἤγουν ὀλιγοστὸς ὑπάρχων ὁ δρόμος αὐτοῦ καὶ σημαίνει ἀγαθὸν ἢ ἐναντίον, βραδύτατον τοῦτο ἔσται· οὕτως οὖν σημαίνει βραδυτῆτα τῆς δουλείας καὶ ὁ ἀστὴρ ὅτε ὑπάρχει ἐν τοῖς οἴκοις τοῦ Κρόνου καὶ τοῦ Διός. εἰ δὲ ἐν τοῖς οἴκοις τῶν περιγείων ἀστέρων, δηλοῖ ταχυτῆτα.

Ὁ ἀστὴρ ὅτε ἀπέρχεται συσχηματίσαι ἑτέρῳ ἀστέρι, οὐ συσχηματίσει δὲ τούτῳ ἐν τῷ ζῳδίῳ ἐκείνῳ, ἀλλ᾿ ἐν τῷ ἑτέρῳ ζῳδίῳ, οὐ συσχηματίσει δὲ πρὸ αὐτοῦ ἑτέρῳ ἀστέρι, τελειοῦται ἡ δουλεία ἐκείνη.

Ὁ κακοποιὸς ἀστὴρ ὅτε ὑπάρχει ἀνατολικὸς ἐν τῷ ἰδίῳ οἴκῳ ἢ ὑψώματι, βελτιώτερός ἐστι τοῦ ἀγαθοποιοῦ ἀστέρος τοῦ ὄντος ἀναπεποδισμένου ἢ κεκακωμένου. οἱ κακοποιοὶ ἀστέρες ὅτε εἰσὶ κύριοι τῆς ζητουμένης δουλείας καὶ συσχηματίζεται αὐτοῖς ὁ κύριος τοῦ ὡροσκόπου ἢ ἡ Σελήνη ἀπὸ τετραγώνου ἢ διαμέτρου, ἐρήμωσιν καὶ

4 διὰ ταῦτα τὰ δύο cod. correxi. 7 τοιαῦτας cod. 9 ἀκτῖνες] ἀκτῖναι cod. Post ἀκτ. videtur erasum esse τοῦ. 11 Χαρὰν καὶ μόνην cod. οὐκ ὠφέλειαν δέ man. altera addidisse videtur. 15 ποσότητα addidi. Cf. Zahel, ***de Interrogationibus***, cap. VII (f. 126 A, edit. Venet. 1493): Coniunctio lunae significat quod futurum est et quod speratur ex rebus secundum quantitatem naturae planetae qui recipit dispositionem lunae... 18 φρουρισμόν] φρουρισμός deest in lexicis. Cf. Zahel, ***de Interrogationibus***, cap. IX: Planeta ... significat tristiciam et c a r c e r e m et angustiam. 20 ᾗ incertum. ᾗ||||| cod. 32 βελτιώτερος] Cf. Indicem.

φθορὰν δηλοῦσι τῆς δουλείας ἐκείνης. χεῖρον δὲ ἔσται ἐπὶ τοῦτο τὸ κυριεύειν τῆς δουλείας κακοποιὸν καὶ συσχηματίζεσθαι αὐτὸν παρὰ ἀγαθοποιοῦ κυρίου ὄντος τοῦ ὡροσκόπου ἢ τὸ κυριεύειν τῆς δουλείας ἀγαθοποιὸν καὶ συσχηματίζεσθαι αὐτὸν παρὰ [f. 145] κακοποιοῦ κυρίου ὄντος τοῦ ὡροσκόπου.

Οἱ ἀγαθοποιοὶ ὅτε ὁρῶσι τοὺς κακοποιούς, ἐλαττοῦσι τὴν κακίαν αὐτῶν. οἱ δὲ κακοποιοὶ ὅτε ὁρῶσι τοὺς ἀγαθοποιοὺς ἀπὸ τετραγώνου ἢ διαμέτρου, ἐλαττοῦσι τὴν τούτων ἀγαθότητα. ὅτε τις τῶν ἀγαθαποιῶν κυριεύει τῆς δουλείας καὶ ἀποκλίνει τοῦ ὡροσκόπου καὶ ὑπάρχει ἀναπεποδισμένος, ἔοικε βλάπτων τὴν ὑπόθεσιν καὶ ἀτέλεστον ἀποκαθιστῶν αὐτήν, ὥσπερ τις τῶν κακοποιῶν ἐμποδίζων αὐτήν.

Ὁ ἀγαθοποιὸς ἀστὴρ ὅτε ὑποδεχθῇ παρ' ἑτέρου ἀστέρος, δοκεῖ δυνατώτερος ἐπὶ τῇ ἀγαθότητι, ὁ δὲ κακοποιὸς ἀσθενέστερος ἐπὶ τῇ κακότητι.

Οἱ κακοποιοὶ ὅτε εἰσὶν ἐν ἀλλοτρίοις ζῳδίοις, προστίθεται τὸ κακὸν αὐτῶν. εἰ δὲ ἐν ζῳδίῳ, ἐν ᾧ ἔχει ἀναλόγως, ἐλαττοῦται τὸ κακόν, εἰ μήπω εἰσὶν ἐν τοῖς κέντροις. οἱ ἀγαθοποιοὶ ὅτε εἰσὶν ἐν ἀλλοτρίοις ζῳδίοις, ἐλάττωσιν δηλοῦσι τῆς τούτων ἀγαθότητος· εἰ δὲ ἐν τόποις οἰκείοις, προσθήκην.

Οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ ὅτε εἰσὶν ἀσθενεῖς ἢ ὕπαυγοι, δηλοῦσι περὶ ὑποθέσεών τινων σμικροτάτων· οὐ δυνήσεται γὰρ ὁ οὕτως ἔχων ἀστὴρ δηλῶσαι τι τῶν λαμπρῶν καὶ μεγάλων ὑποθέσεων, δι' ἣν ἔχει ταλαιπωρίαν.

Ὁ ἀστὴρ ὁ ἀγαθοποιὸς καὶ ὁ κακοποιὸς ὅτε ὑπάρχει ὕπαυγος καὶ ὅτε διαμετρεῖ τὸν Ἥλιον, βλάπτεται καὶ ὁ μὲν ἀγαθοποιὸς ἀσθενεῖ πρὸς τὰ ἀγαθὰ αὐτοῦ ἀποτελέσματα, ὁ δὲ κακοποιὸς πρὸς τὰ ἐναντία.

Οἱ κακοποιοὶ ὅτε εἰσὶν εἰς τὰ κέντρα καὶ τετραγωνίζουσι τὸν ὡροσκόπον ἢ διαμετροῦσιν, εἰσὶ πρὸς τὸ κακὸν δυνατοί. οὕτως οὖν καὶ ὅτε τινὰ τῶν ἀστέρων ὁρῶσι καὶ μᾶλλον ἐὰν ὦσιν δυνατώτεροι τῶν ὁρωμένων οἱ ὁρῶντες. εἰ δὲ ὁ τούτων συσχηματισμὸς γένηται ἀπὸ τριγώνου ἢ ἑξαγώνου, γίνεται τοῦ κακοῦ συστολή.

Ὁ ἀγαθοποιὸς ἀστὴρ ἀεὶ δηλοῖ ἀγαθά, ὁ δὲ κακοποιὸς ἐναντία. καὶ δεῖ ὁρᾶν τοὺς τόπους τῶν ἀστέρων τοὺς ἀπὸ τοῦ ὡροσκόπου καὶ τὰ ζῴδια ἐν οἷς παροδεύουσιν. ἐὰν οὖν ὑπάρχῃ ὁ κακοποιὸς ἀστὴρ ἐν οἰκείᾳ αἱρέσει ἢ ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι ἢ τριγώνῳ ἐν τόπῳ καλλίστῳ ἀπὸ τοῦ ὡροσκόπου, δηλοῖ ἀγαθά. ὁ δὲ ἀγαθοποιὸς ἐὰν οὐχ ὑπάρχῃ ἐν οἰκείᾳ αἱρέσει, ἀλλ' εὑρέθῇ ἐν ἀποκλίματι εἴτε ἐν ἀλλοτρίῳ ζῳδίῳ εἴτε ὕπαυγος, βλάπτει καὶ οὐκ ὠφελεῖ.

Ὁ Ζεὺς ἐὰν ὁρᾷ κακοποιὸν ἀστέρα, μεταβάλλει τὴν κρᾶσιν αὐτοῦ

ἀν
6 et 8 ἐλλαττοῦσι cod. 16 ἀναλόγως corr. ex λος cod. ἐλλαττοῦται cod. (semper). 18 ἐλλάττωσιν cod. 25 διαμετρεῖ] διαμετρᾷ cod. Cf. etiam supra, p. 94, 31 κυνηγᾶν. 34 et 36 ὑπάρχῃ ex ὑπάρχει corr. man. ead.

ἐπὶ τὸ ἀγαθόν. ἡ δὲ Ἀφροδίτη οὐ δύναται μεταβαλεῖν τὴν κακίαν τοῦ κακοποιοῦ ὥσπερ ὁ Ζεύς, εἰ μήπω ἐφορᾷ τὸν Δία. ὁ Ζεὺς ἀναλύει τὰ ὑπὸ τοῦ Κρόνου δεσμούμενα καὶ μεταβάλλει τὴν κακίαν αὐτοῦ, ὅτε [f. 145v] συσχηματίζεται αὐτῷ. ἡ δὲ Ἀφροδίτη λύει τὴν κακίαν τοῦ Ἄρεως.

Ὅτε κακοποιὸς παραλαμβάνει ἀπὸ κακοποιοῦ, εἰπὲ ὅτι ἔσται κακὸν ἐπὶ κακοῦ. ὅταν μεταδίδοι κακοποιὸς ἀγαθῷ, γίνεται μετὰ τὸ κακὸν ἀγαθόν. εἰ δὲ μεταδίδοι ἀγαθοποιὸς κακοποιῷ, γίνεται μετὰ τὸ ἀγαθὸν κακόν.

Ἡ Σελήνη ἢ ὁ κύριος τοῦ ὡροσκόπου ἐάν εἰσι κεκακωμένοι ἀπὸ διαμέτρου ἢ τετραγώνου ἢ συνόδου, οἱ δὲ ἀγαθοποιοὶ ὁρῶσι τὴν Σελήνην ἢ τὸν κύριον τοῦ ὡροσκόπου ἀπὸ τετραγώνου, λύουσι τὴν τοιαύτην τούτων κάκωσιν. ἐὰν δὲ ἡ κάκωσις τῆς Σελήνης καὶ τοῦ κυρίου τοῦ ὡροσκόπου ὑπάρχῃ ἀπὸ τετραγώνου καὶ μόνου καὶ ὁρῶσιν οἱ ἀγαθοποιοὶ τὴν Σελήνην ἢ τὸν κύριον τοῦ ὡροσκόπου ἀπὸ τριγώνου, ἐκφεύγει μὲν ὁ ἄνθρωπος ἐκεῖνος ἀπὸ ἀνάγκης, ἐμπεσεῖται δὲ εἰς ἑτέραν ἀνάγκην.

Ὁ ἀστὴρ ὅτε οὐκ ἔνι εἰς ἴδιον οἶκον ἢ ὕψωμα ἢ τρίγωνον ἢ ὅριον ἢ δεκανὸν ἢ ἐν ᾧ τόπῳ χαίρει, ὑπάρχει δὲ καὶ ἀποκεκλικώς, δηλοῖ κακίαν τινὰ ἔχουσάν τινα ἀγαθότητα. ἀλλὰ καὶ ὅτε ὑπάρχει ὕπαυγος, οὐδὲν ἀγαθὸν ἔχει. ἀλλ' οὐδὲ ὁ ἀστὴρ ὁ δυτικὸς ἀπὸ τῶν τριῶν ὑψηλῶν ἀστέρων, ὁ φαινόμενος δηλονότι ἐν τῇ δύσει κατὰ τὴν ἑσπέραν, ἔχει δύναμιν ὡς ὢν ἀσθενής. καὶ ὁ μὲν κακοποιὸς ἐὰν κακὸν δηλώσῃ, κουφότερον ἔσται. ὁ δὲ ἀγαθοποιὸς ἐὰν ἀγαθόν, μετριώτερον.

Ὁ ἀναπεποδισμένος ἀστὴρ δυσχέρειαν σημαίνει ἐπὶ παντὸς πράγματος.

Ὅτε ἀπέχουσιν οἱ ἀστέρες τοῦ Ἡλίου ἧττον τῶν δώδεκα μοιρῶν, εἰσὶ σφόδρα ἀδύνατοι, εἰ μήπω εἰσὶν ἐν μιᾷ μοίρᾳ μετὰ τοῦ Ἡλίου. τότε γὰρ εἰσι δυνατοὶ σφόδρα. ὁ ἀστὴρ ὅτε ἀπέχει τοῦ Ἡλίου δώδεκα μοίρας, ὑπάρχει δυνατὸς ἐπὶ πάσης καταρχῆς καὶ πράξεως. ὅτε δὲ ἀπέχει πεντεκαίδεκα, τότε ἔχει τὴν μεγαλωτέραν αὐτοῦ δύναμιν. ὁ ἀστὴρ ὅτε ὑπάρχει δυτικὸς καὶ ἀπέχει τοῦ Ἡλίου μοίρας πεντεκαίδεκα, τότε ἄρχεται ἡ ἀσθένεια αὐτοῦ. ὅτε δὲ ἀπέχει μοίρας ἑπτά, μέχρις ἂν γένηται ἐγκάρδιος, ὑπάρχει ἐν τῇ μεγαλωτέρᾳ αὐτοῦ ἀσθενείᾳ. ὁ ἀστὴρ ὅτε ὑπάρχει ἐν ἀλλοτρίῳ ζῳδίῳ, κακοῦται ἡ φύσις αὐτοῦ, εἰ μήπω ἐστὶν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ὀκτωκαιδεκάτῳ τόπῳ.

Ὁ σημειωτικὸς ἀστὴρ τῆς ὑποθέσεως ἐάν ἐστι δυτικός, ὑπάρχει ἀσθενὴς καὶ παρωπλισμένος μὴ δυνάμενος ἀναπληρῶσαι τὰ παρ'

18 ὅριον] ὅ^{ρ} cod. 31 μεγαλωτέραν cod. Perraro hanc comparativi formam inveni (e. g. Cf. f. 147v in marg.), magis usitata est μεγαλύτερος. Cf. Thumb, l. c., § 101 sp.; Jannaris, l. c., 505 sq. 34 ἐνκάρδιος cod.

αὐτοῦ σημαινόμενα. εἰ δὲ ὑπάρχει ἀνατολικός, ἐστὶ δυνατὸς καὶ ἐνεργὴς πρὸς τὸ ἐκπληρῶσαι ταῦτα καὶ ὁμοιοῖ κτίσματι νέῳ.

Ὁ ἀστὴρ ὅτε εὑρεθῇ ἐν τῷ ὀγδόῳ τόπῳ ἀπὸ τοῦ ὡροσκόπου καὶ ὑπάρχει ἀγαθός, οὔτε καλὸν σημαίνει οὔτε κακόν. ὁ δὲ κακοποιὸς ὅτε ἐστὶν ἐν τῷ αὐτῷ τόπῳ, μεγίστην σημαίνει τὴν κακίαν αὐτοῦ.

Πᾶς ἀστὴρ [f. 146] ὁ ὢν ἐν τῇ ἀρχῇ τοῦ ζῳδίου ὑπάρχει πρὸς τὸ ζῴδιον ἀσθενὴς μέχρι τῶν πέντε μοιρῶν· ἐπεὶ καὶ ὁ ἀστὴρ οὐκ ἄλλοτε ἀπὸ τοῦ κέντρου ἀποκλίνει ἢ ὅτε ἀποκλίνει πέντε μοίρας· εἰ γὰρ ἀπέχει πλέον τῶν πέντε μοιρῶν τῆς μοίρας τοῦ κέντρου οὐχ ὑπάρχει ἐν τῷ κέντρῳ ἀλλὰ καὶ ἐν ταῖς ἑπομέναις μοίραις, ἐάν ἐστι ὁ ἀστὴρ ἐντὸς τῶν πεντεκαίδεκα μοιρῶν, ὑπάρχει ἐν τῷ κέντρῳ. εἰ δὲ ἐκτὸς τῶν πεντεκαίδεκα, οὐκ ἔχει ἐν τῷ κέντρῳ δύναμιν.

Οἱ ἀστέρες ὅτε εἰσὶν ἐν ζῳδίοις στερεοῖς, δηλοῦσι στερέωσιν τῶν πραγμάτων καὶ βοήθειαν καλλίστην τῶν ἐρωτήσεων. ὅτε δέ εἰσιν ἐν τοῖς δισώμοις, δηλοῦσιν ὡς δὶς τὸ πρᾶγμα πραχθήσεται. ὅτε δὲ ἐν τροπικοῖς, σημαίνουσι μετατροπὴν τῶν πραγμάτων ἀπὸ ὑποθέσεως εἰς ἑτέραν ὑπόθεσιν.

Πᾶς ἀστὴρ ὅστις ὑπάρχει σημειωτικὸς ὑποθέσεώς τινος ἐὰν στηρίζῃ πρὸς ὀρθοποδισμόν, δηλοῖ τὸ γενέσθαι τὴν δουλείαν ἐκείνην καλῶς μετὰ δυνάμεως καὶ εὐθύτητος. εἰ δὲ πρὸς τὸ ἀναποδίσαι, δηλοῖ τὸ ἐναντίον.

Ἴσθι ὅτι καθ' ἣν ἡμέραν ἐστὶν ἡ Σελήνη κεκακωμένη, πᾶς ὁ ἐρωτῶν κατ' αὐτὴν κεκακωμένην εὑρήσει τὴν τοιαύτην ἐρώτησιν, εἰ μήπω οἱ ἀπὸ τοῦ ὡροσκόπου τόποι μεταβάλλουσι τὴν κακότητα τῆς Σελήνης κατὰ τὸ μᾶλλον καὶ ἧττον. ἐπειδὴ ἡ Σελήνη, ἐὰν ἔνι κεκακωμένη ἐπί τινος τῶν κέντρων, γίνεται ἡ βλάβη ἐπὶ τῷ σώματι τοῦ ἐρωτῶντος· εἰ δὲ ἐν ἀποκλίματι, σημαίνει δειλίαν καὶ φόβον· εἰ δὲ ἐν ἐπαναφορᾷ, μεσότητα ἐπ' ἀμφοτέροις.

Οἱ ἀστέρες, οἵτινες συσχηματίζονται παρὰ τῆς Σελήνης, δηλοῦσι τὴν ἀπόβασιν τῆς ὑποθέσεως, εἴτε ἀγαθὴ μέλλει εἶναι, εἴτε ἐναντία πρὸς τὸν συσχηματισμόν.

Ὁ κύριος τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη ἐάν εἰσιν ἐν τοῖς ἐναντιώμασιν αὐτῶν, δηλοῖ τὸ ἀπαναίνεσθαι τὸν ἐρωτήσαντα τὴν ἐρώτησιν.

5 μεγίστη cod., superscripsit manus altera ν. 6 ἀστὴρ omiserat librarius, add. man. ead. 33 ἀπαναίνεσθαι cod., sup. αἱ scripsit man. ead. ε.

Excerpta ex tertio libro eiusdem Zahelis Iudaei.

[F. 146.] Τὰ δὲ τοῦ τρίτου βιβλίου τοῦ αὐτοῦ σοφωτάτου <Ἰουδαίου τοῦ Σάχλ τοῦ υἱοῦ> τοῦ Πέσρ, ἃ καὶ αὐτὰ συμβάλλονται πρὸς πᾶσαν ἐρώτησιν, ἔχουσιν οὕτως.

Εἰ ἐρωτηθῇς περὶ ἐρωτήσεώς τινος, ποίησον τὴν ἔναρξιν καθώς σοι ἐντέλλομαι· ἐδήλωσα γάρ σοι τοὺς τόπους ἀφ' ὧν ὀφείλομεν τηρεῖν ἑκάστην ὑπόθεσιν καὶ μὴ εἰσάξῃς ὑπόθεσιν μεθ' ἑτέρας ὑποθέσεως. ὥσπερ ἐάν τις ἐρωτήσῃ σε περὶ συναλλάγματος γαμικοῦ καὶ σκέψαι περὶ τούτου. εἶτα μετὰ τὴν σκέψιν παρευθὺς ἐρωτήσῃ σε περὶ ἑτέρας ὑποθέσεως λέγων σοι ὁ ἐρωτῶν· σκέψω ἀπὸ τοῦ θεματίου τούτου καὶ περὶ τῆς δεῖνος μου ὑποθέσεως· ἐκτὸς τοῦ εἰκότος τοῦτό ἐστιν. τότε γὰρ χρηματίζει τοῦτο, ὅτε ὑποθήσει λογισμόν, ἵνα ἐρωτήσῃ περὶ διαφόρων ὑποθέσεων· [f. 146v] καὶ δεῖ σε τότε λαβεῖν ἑκάστην ὑπόθεσιν ἀπὸ τοῦ ἀναλογοῦντος αὐτῷ τόπου καὶ μὴ προσσχῇς τῷ ἐρωτῶντι σε, εἰ μήπω ποιήσει τὴν ἐρώτησιν ἐμπόνως ἢ δι' ἑαυτοῦ ἢ διά τινος ἑτέρου ἐπ' αὐτὸ τοῦτο παρ' αὐτοῦ ἀποσταλέντος. τῷ δὲ ὡς ἐμποδίζοντι ἐρωτῶντί σε, μὴ δ' ὅλως προσχῇς.

Γίνωσκε δὲ ὅτι τὰ ἀποτελέσματα τῶν ἐρωτημάτων πρὸς τὸν λογισμὸν τοῦ ἀνθρώπου ἀποτελοῦνται καὶ πρὸς τὸ ῥῆμα τῆς ἐρωτήσεως, ὃ μέλλει εἰπεῖν πρὸς τὸν ἐπιστήμονα. καὶ εἰ μὲν ἡ ἐρώτησίς ἐστι καθολική, εἰσὶ καὶ αἱ σημασίαι τῶν ἀστέρων δηλωτικαὶ μέχρι πέρατος τῆς ζωῆς τοῦ ἐρωτῶντος. εἰ δέ ἐστιν ἡ ἐρώτησις περὶ ἐνιαυτοῦ τοῦ τρέχοντος ἢ μηνὸς ἢ ἡμέρας, περὶ τοῦ καιροῦ καὶ μόνου ἐκείνου νοεῖται ἡ σημασία τοῦ ἀστέρος καὶ μὴ ἐπὶ πλείονος. καὶ εἰ μὲν καλῶς εὑρεθῇ ἔχων ὁ κύριος τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη, καλῶς ἕξει ὁ ἐρωτῶν· εἰ δὲ κακῶς, καὶ οὗτος κακῶς. ἐπειδὴ σημειωτικοί εἰσιν ἀεὶ ὁ κύριος τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη, καὶ ὅστις ἐρωτήσῃ ἢ γεννηθῇ ἐν ὥρᾳ τῆς κακώσεως τῶν τοιούτων δύο σημειωτικῶν, ἔσται τεταπεινωμένος καὶ κεκακωμένος· ὡσαύτως καὶ ὅτε καλῶς ἔχουσιν οἱ δύο σημειωτικοί, καλῶς ἕξει καὶ ὁ ἐρωτῶν ἢ ὁ γεννηθείς. ἀλλὰ καὶ ἐφ' ἑτέροις ψιλοῖς ἐρωτήμασιν εἰ ἐρωτηθῇς κακῶς ἐχόντων τῶν δύο σημειωτικῶν, κακὰ ἀπόφηναι περὶ τῆς τοιαύτης ὑποθέσεως, εἰ δὲ καλῶς ἐχόντων, καλά. καὶ λάβε ἑκάστην ὑπόθεσιν ἀπὸ τοῦ ἀναλογοῦντος αὐτῇ τόπου· οἷον περὶ χρημάτων ἀπὸ τοῦ δευτέρου τόπου, περὶ ἀδελφῶν ἀπὸ τοῦ τρίτου καὶ καθεξῆς ὁμοίως. καὶ ποίησον τὸν ὡροσκόπον τὸν κύριον αὐτοῦ καὶ τὴν Σελήνην εἰς πρόσωπον τοῦ ἐρωτῶντος, τὸ δὲ

2 Ἰουδαίου τοῦ Σάχλ τοῦ υἱοῦ addidi. 4 (et saepius) ἐρωτηθείς cod. 5 ἐντέλομαι cod. 7 συναλάγματος cod. 14 σε] σοι cod. 15 ἐμποδίζοντι corr. man. ead. ex ἐμπόζοντι. 16 σε] σοι cod. 23 μή incertum.

ζῴδιον τοῦ τόπου τῆς δουλείας καὶ τὸν κύριον τούτου <τοῦ> προσώπου τῆς ἐπιζητουμένης δουλείας καὶ ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὴν Σελήνην ποῖος ἐκ τούτων ὑπάρχει δυνατώτερος ἀπό τε τῆς ἐκκεντρότητος καὶ τοῦ πρὸς τὸν ὡροσκόπον συσχηματισμοῦ καὶ λαβὲ ἐκεῖνον πρῶτον σημάντορα προσώπου τοῦ ἐρωτῶντος καὶ ἐὰν συσχηματίζηται οὗτος τῷ κυρίῳ τοῦ τόπου τῆς δουλείας, μοιρικῶς, γενήσεται ἡ δουλεία ἐκείνη· γενήσεται δὲ ἀπὸ ζητήσεως καὶ ἐγγυήσεως τοῦ ἐρωτῶντος· εἰ δὲ ὁ κύριος τῆς δουλείας συσχηματίζεται τῷ κυρίῳ τοῦ ὡροσκόπου γενήσεται ἡ δουλεία μετ' εὐκολίας καὶ σπουδῆς τοῦ ἐπιζητουμένου τὴν δουλείαν. ἐὰν δὲ εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου ἢ τὴν Σελήνην εἰς τὸν τόπον τῆς δουλείας ἢ τὸν κύριον τῆς δουλείας ἐν τῷ ὡροσκόπῳ, καὶ οὕτως γενήσεται, εἰ μήπω τὸ ζῴδιον τῆς δουλείας ὑπάρχει ταπείνωμα τοῦ κυρίου τοῦ ὡροσκόπου ἢ εὑρεθῇ ἐκεῖσε ὕπαυγος· τότε γὰρ οὐ γενήσεται. ἐὰν δὲ εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου ἢ τὴν Σελήνην συσχηματίζοντας ἀστέρι ὄντι εἰς τὸν τόπον τῆς δουλείας, [f. 147] ἔχῃ δὲ ὁ ἀστὴρ ἐκεῖνος εἰς τὸν τόπον οἰκειότητά τινα ἢ ἐὰν εὕρῃς τὸν κύριον τοῦ τόπου τῆς δουλείας συσχηματίζοντα ἀστέρι ὄντι εἰς τὸν ὡροσκόπον καὶ ἔχοντι οἰκειότητά τινα ἐν τῷ ὡροσκόπῳ, γενήσεται ἡ δουλείας· εἰ δὲ οὐχ εὕρῃς τι τῶν εἰρημένων εἴδεων, <.....>.

Ἐάν τις τῶν ἀστέρων μετακομίζει τὴν ἀκτῖνα τοῦ ἑνὸς ἐπὶ τὸν ἕτερον, ἤγουν ἀπορρεῖ μὲν ἀπὸ τοῦ κυρίου τοῦ ὡροσκόπου, συνάπτει δὲ τῷ κυρίῳ τῆς δουλείας ἢ ἀπορρεῖ ἀπὸ τοῦ κυρίου τῆς δουλείας, συνάπτει δὲ τῷ κυρίῳ τοῦ ὡροσκόπου, γενήσεται ἡ δουλεία διὰ μέσου τινός. εἰ δὲ οὐδ' αὐτὸ εὑρήσεις, ἰδὲ ἐὰν παρά τινος τῶν ὑψηλῶν ἀστέρων γίνεται ὑποδοχὴ τῶν ἀκτίνων τῶν δύο ἀστέρων, ἤγουν τοῦ τε κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τῆς δουλείας καὶ ὁρᾷ ὁ τοιοῦτος ἀστὴρ τὸν τόπον τῆς δουλείας καὶ ὑπάρχει οὗτος ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι, γενήσεται ἡ δουλεία διὰ μέσου τινός. αὗται γὰρ γὰρ αἱ τρεῖς σημασίαι, ἤγουν ὁ συσχηματισμός, ἡ μετακομιδὴ καὶ ἡ <ὑπο>δοχή εἰσίν αἱ δηλοῦσαι τὴν πρᾶξιν τῆς ἐπιζητουμένης δουλείας.

Εἶτα ἰδὲ τὸν ἐπικράτορα, ἤγουν τὸν κυβερνήτην τῆς δουλείας, ποῖός ἐστι τῶν ἀστέρων τῶν συσχηματιζομένων παρὰ τοῦ κυρίου τοῦ ὡροσκόπου ἢ τῆς Σελήνης, ὅς ἐστιν ἀστήρ βαρύτερος. καὶ ἰδὲ τὸν κυρίον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τῆς δουλείας καὶ τὸν βαρύτατον ἀστέρα τὸν ἐπισυνάγοντα ἀκτῖνας τῶν δύο ἀστέρων, τοῦ τε κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τῆς δουλείας. καὶ ἐάν τις τούτων χρημα-

1 τοῦ addidi. 4 ἐκκεντρότητος] ἐγκεντρότης cod., in lexicis non invenitur. 5 προσώπου] προσώπῳ cod. 17 εὕρεις cod. 21 μετακομίζει τὴν ἀκτῖνα κ. τ. λ. Cf. supra, p. 98, 15. 24 et 29 μέσου] μέσῳ cod. 29 ante αὗται duae litterae (αὗ?) erasae sunt. 31 ὑποδοχή] δοχή cod. 37 ἐπισυνάγοντα τὰς ἀκτῖνας... Cf. supra. τοὺς ἀκτῖνας cod.

τίζῃ σοι ὥστε ἵνα χρήσεται αὐτῷ πρὸς τὸ ἐπιγνῶναί σε δι' αὐτοῦ τὴν πρᾶξιν τῆς ἐπιζητουμένης δουλείας καὶ ὑπάρχει ἀκάκωτος ἐν κέντρῳ ἢ ἐν ἐπαναφορᾷ μήτε ἀναποδίζων μήτε ὕπαυγος μήτε ἀποκεκλικώς, γενήσεται ἡ δουλεία· εἰ δὲ ὑπάρχει κεκακωμένος, οὐ γενήσεται.

Εἰ δὲ εὑρήσεις ὅτι μέλλει γενέσθαι ἡ δουλεία καὶ ἐρωτηθῇς, εἴτε μετ' εὐκολίας γενήσεται εἴτε μετὰ δυσχερείας, ἰδὲ καὶ ἐὰν ἔνι ὁ συσχηματισμὸς διὰ τριγώνου ἢ ἑξαγώνου, γενήσεται εὐκόλως· εἰ δὲ διὰ τετραγώνου ἢ διαμέτρου, γενήσεται δυσχερῶς. εἰ δὲ ἐρωτηθῇς, ὅτι ἡ δουλεία αὕτη δι' αἰτήσεως γενήσεται τοῦ ζητοῦντος ἢ χωρὶς αἰτήσεως αὐτοῦ, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὴν Σελήνην. καὶ ἐὰν συσχηματίζωνται τῷ κυρίῳ τῆς δουλείας ἢ εἰσιν ἐν τῷ τόπῳ τῆς δουλείας, γενήσεται αὕτη δι' αἰτήσεως αὐτοῦ καὶ σπουδῆς. εἰ δὲ ὁ κύριος τῆς δουλείας συσχηματίζεται τῷ κυρίῳ τοῦ ὡροσκόπου ἢ ὑπάρχει ἐν τῷ ὡροσκόπῳ, γενήσεται ἡ τοιαύτη δουλεία χωρὶς κόπου. καὶ ἐὰν ἔνι ἡ ἐπιζητουμένη δουλεία περὶ πράξεως, δοθήσεται αὐτῷ ἡ πρᾶξις [f. 147v] ἀπόνως· αὕτη ἐστὶν ἡ κρίσις τῶν συσχηματισμῶν.

Ἡ δέ γε μετακομιδὴ τῶν ἀκτίνων, ἤγουν ἡ ἀπόρροια καὶ συναφὴ ἔχει οὕτως. ἐὰν ὁ μετακομίζων τὰς ἀκτῖνας ἀπορρεῖ μὲν τοῦ κυρίου τοῦ ὡροσκόπου, συνάπτει δὲ τῷ κυρίῳ τῆς δουλείας, ἡ καταρχὴ τῆς ἐπιζητουμένης δουλείας γενήσεται ἀπὸ τοῦ ἐρωτῶντος. εἰ δὲ ἀπορρεῖ μὲν τοῦ κυρίου τῆς δουλείας, συνάπτει <δὲ> τῷ κυρίῳ τοῦ ὡροσκόπου, γενήσεται ἡ καταρχὴ ἀπὸ τοῦ κρατοῦντος τὴν δουλείαν ἐκείνην· ἐὰν δὲ διαιτηθῇ ἡ πρᾶξις τῆς ὑποθέσεως ἀπὸ τοῦ βαρυτάτου ἀστέρος τοῦ ὑποδεχομένου τὰς ἀκτῖνας τῶν δύο ἀστέρων, τοῦ τε κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τῆς δουλείας, γενήσεται ἡ δουλεία διὰ μέσου τινός. καὶ γίνωσκε ὅτι ὁ κύριος τοῦ ὡροσκόπου ἢ ἡ Σελήνη ἐὰν σχηματίζεται ἀστέρι ἀπὸ τοῦ ταπεινώματος αὐτοῦ, ὥσπερ ἐὰν συσχηματίζεται ἡ Σελήνη τῷ Ἄρει ἀπὸ τοῦ ταπεινώματος αὐτοῦ, τοῦ Καρκίνου, ἢ τῷ Διὶ ἀπὸ τοῦ Αἰγόκερω, δηλοῖ ὅτι ἡ δουλεία οὐκ εὐοδήσεται. τὸ αὐτὸ ἔσται καὶ ὅτε συσχηματίζεται ἀστέρι ὄντι ἐν τῷ ταπεινώματι τοῦ συσχηματίζοντος, ὥσπερ ὅταν συσχηματισθῇ ἡ Σελήνη τῷ Κρόνῳ ἢ ἑτέρῳ ἀστέρι ὄντι ἐν τῇ τρίτῃ μοίρᾳ τοῦ Σκορπίου.

Γίνωσκε δὲ ὅτι ἐὰν ὁ κύριος τῆς δουλείας ἐστὶ κακοποιὸς καὶ συσχηματίζεται αὐτῷ ὁ κύριος τοῦ ὡροσκόπου ἢ ἡ Σελήνη διὰ τετραγώνου <ἢ> διαμέτρου χωρὶς ὑποδοχῆς, δηλοῖ τὸ γενέσθαι μὲν μετάμελον τὸν ἐρωτῶντα καὶ ἐπιζητοῦντα τὴν τοιαύτην δουλείαν διὰ τὸ εὑρεῖν μεγάλην δυσχέρειαν ἐν αὐτῇ, γενέσθαι δὲ ταύτην <. . .>. ἐὰν δὲ ὁ συσχηματισμὸς γίνεται διὰ τριγώνου ἢ ἑξαγώνου καὶ τοῦτο χωρὶς ὑποδοχῆς, γενήσεται

21 δέ addidi. 23 διαιτηθῇ incertum. 26 μέσου] μέσω cod. 28 τῷ Ἄρει] τὸν ♂ cod. 29 τῷ Διί] τὸν ♃ cod. 36 ἢ add. Boll. 37 post ταύτην lacunam significat Boll.

ἡ δουλεία χωρὶς κακώσεως. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου καὶ ὁ κύριος τῆς δουλείας ὑπάρχει εἷς ἀστὴρ καί ἐστιν ἀκάκωτος ἢ συσχηματίζεται ἀστέρι ἑτέρῳ μετὰ ὑποδοχῆς, γενήσεται ἡ δουλεία. ὡσαύτως γενήσεται καὶ ὅτε συσχηματισθῇ ὁ τοιοῦτος κύριος τῶν δύο τόπων παρὰ τῆς Σελήνης ἀκακώτου αὐτῆς οὔσης.

Ἴσθι δὲ καὶ τοῦτο ὅτι καὶ τὰ ζῴδια ἔχουσι μαρτυρίαν πρὸς τὸ γενέσθαι τὴν δουλείαν, καὶ πρωτοτύπως, ἐὰν ἔνι ὁ ὡροσκόπος ζῴδιον στερεὸν ἢ δίσωμον καὶ τὰ κέντρα ἐάν εἰσιν ὀρθά, ἤγουν ἵνα ἔνι τὸ μεσουράνημα ζῴδιον ι', καὶ ἵνα μὴ ἔνι τὸ μεσουράνημα ζῴδιον θ' ἀπὸ τοῦ ὡροσκόπου· τοῦτο οὖν ἐστι καὶ τὸ τῶν ζῳδίων.

Ἀλλὰ καὶ τῶν ἀστέρων τρεῖς μαρτυρίαι εἰσὶ πρὸς τὸ γενέσθαι τὴν δουλείαν, καὶ πρῶτον μὲν ὁ κύριος τοῦ ὡροσκόπου, δεύτερον δὲ ὁ κύριος τῆς δουλείας καὶ τρίτον ἡ Σελήνη. ἐὰν οὖν συσχηματίζωνται οἱ δύο σημειωτικοί, ἤγουν ὅ τε κύριος τοῦ ὡροσκόπου καὶ ὁ κύριος τῆς δουλείας, [f. 148] καὶ ὑπάρχει εἷς ἐκ τούτων ἀκάκωτος, τεύξεται τοῦ τρίτου τῆς δουλείας. εἰ δέ εἰσι καὶ οἱ δύο ἀκάκωτοι, ἐπιτεύξεται τοῦ διμοίρου. εἰ δέ εἰσι καὶ οἱ τρεῖς ἀκάκωτοι, ἤγουν ὁ κύριος τοῦ ὡροσκόπου, ὁ κύριος τῆς δουλείας καὶ ἡ Σελήνη ἀπό τε ἀναποδισμοῦ ὑπαύγου καὶ κακώσεως παρὰ τῶν κακοποιῶν ἐπιτεύξεται τῆς ὅλης δουλείας. ἐὰν δὲ ὁ συσχηματισμὸς τούτων γενήσεται μεθ' ὑποδοχῆς, ὑπάρχει δὲ ὁ ὑποδεχόμενος αὐτοὺς παρ' ἑτέρου ἀστέρος ὑποδεδειγμένος καὶ αὐτός, γενήσεται ἡ δουλεία μετὰ προσθήκης· ὑπόδειγμα δὲ τοῦτο.

<Ὑπόδειγμα.> Περὶ ἐπιτυχίας πράξεως.

Ἐσκεψάμην τὴν τοιαύτην ἐρώτησιν καὶ ἔλαχον πρόσωπον τοῦ ἐρωτῶντος τὸν ὡροσκόπον, τὸν κύριον αὐτοῦ, καὶ τὴν Σελήνην, πρόσωπον δὲ τῆς ἐπιζητουμένης πράξεως τὸ μεσουρανοῦν ζῴδιον καὶ τὸν κύριον αὐτοῦ. εὑρέθη οὖν ὁ κύριος τοῦ ὡροσκόπου Ἑρμῆς ἐν τῷ ὡροσκόπῳ ἐν τῷ τέλει τοῦ ζῳδίου, ὁ δὲ κύριος τοῦ μεσουρανήματος Ζεὺς ἐν τῷ μεσουρανήματι ἐν μοίρᾳ κ'· ἦν δὲ ἀπορρέων ὁ κύριος τοῦ ὡροσκόπου ἀπὸ τοῦ κυρίου τῆς δουλείας· ἡ δὲ Σελήνη εὑρέθη ἐν τῷ ὑποθέσεως κέντρῳ διαμετροῦσα τὸν Δία, ὅπερ καὶ δηλοῖ ἐπιτυχίαν τῆς δουλείας μετά δυσχερείας καὶ βίας διὰ τὸ εἶναι τὸ σχῆμα διάμετρον. εἰ γὰρ ἦν τρίγωνον ἢ ἑξάγωνον, ῥᾳδίαν ἐδήλου τὴν ἐπίτευξιν τῆς πράξεως. καὶ ἐπειδὴ ἡ Σελήνη ἀπήρχετο πρὸς διάμετρον τοῦ κυρίου τῆς δουλείας, δηλοῖ τὸ γενέσθαι αὐτὴν ἀπὸ ὀχλήσεως καὶ ἐπιζητήσεως τοῦ ἐρωτῶντος· εἰ γὰρ ὁ κύριος τῆς δουλείας ἀπήρχετο πρὸς τὸν σημαντικὸν

8 δίσσωμον cod. 21 αὐτούς add. man. altera. 22 Sequitur exemplum. 23 Figuram in codice huic exemplo adpictam omisi. Ὑπόδειγμα add. Boll. 24 ἔλαχον] ἔλ$^{\alpha}$/ cod. προσώπου cod. 25 προσώπου cod. 27 Ερμής (semper) cod. 30 ὑποθέσεως] ὑπο$^{ς'}$ cod.

ἀστέρα τοῦ ἐρωτήσαντος, εἴχομεν εἰπεῖν τὴν ἐπίτευξιν χωρὶς κόπου καὶ ἐπιζητήσεως. ἐπεὶ δὲ ὁ Ζεὺς ἐν τῷ μεσουρανήματι ὢν δεχόμενος τὴν ἀκτῖνα τοῦ σημειωτικοῦ, ἤγουν τῆς Σελήνης, εὑρέθη στηρίζων πρὸς τὸ ἀναποδίσαι, δηλοῖ μετὰ τὴν εὐόδωσιν ἀποτυχίαν καὶ φθορὰν καὶ ἀλλοίωσιν τῆς δουλείας. ἔσται δὲ τοῦτο ἐξ αἰτίας τοῦ ἀρχηγοῦ διὰ τὸ δεσπόζειν τὸν Δία τοῦ μεσουρανήματος. εἰ γὰρ ὁ δεχόμενος τὴν ἀκτῖνα τοῦ σημειωτικοῦ ἀστέρος ἦν ὁ κύριος τοῦ ὡροσκόπου, εἴχομεν εἰπεῖν γενέσθαι τὴν φθορὰν [f. 148ᵛ] τῆς δουλείας ἐξ αἰτίας τοῦ ἐπιζητοῦντος αὐτήν. ἐπεὶ δὲ ὁ κύριος τοῦ ὡροσκόπου ἐξερχόμενος ἀπὸ τοῦ οἴκου αὐτοῦ εἰσέρχεται ἐν τῷ τόπῳ τῶν χρημάτων, δηλοῖ τὸ ἐπιζητεῖν τὸν ἐρωτῶντα μετὰ τὸ καταλιπεῖν τὴν τοιαύτην δουλείαν χρήματά τινα πρὸς ζωὴν αὐτοῦ. ἐπεὶ δὲ ὁ Ἑρμῆς εἰσελθὼν εἰς Καρκίνον ἐξαγωνίζει τὸν Ἄρεα χωρὶς ὑποδοχῆς, δηλοῖ τὸ οἰκονομῆσαι μὲν τὸν ἐρωτῶντά τι πρὸς ὠφέλειαν αὐτοῦ, ἔχειν δὲ τὴν τοιαύτην οἰκονομίαν κεκακωμένην ἀπόκρισιν καὶ λυπηράν. ἐπεὶ δὲ ὁ Ἄρης κυριεύει τοῦ ἕκτου τόπου, ἐξελθοῦσα ἡ τοιαύτη λύπη ἐξ αἰτίας δούλων ἢ νοσημάτων. τὸ δὲ ἀπορρεῖν τὸν Ἑρμῆν ἐκ τοῦ κυρίου τῆς δουλείας, τοῦτο σημαίνει ὅτι ὁ ἐρωτῶν κατ᾿ ἀρχὰς μὲν ἤλπιζεν ἐπιτυχεῖν τῆς δουλείας. ἀπήλπισε δὲ αὐτῆς μετὰ ταῦτα.

Οὕτως οὖν σκέπτου ἀεὶ ἐπὶ πάσης ἐρωτήσεως καὶ τὸ ἀληθὲς εὑρήσεις.

[F. 147ᵛ in margine.]

Λέγει δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ὅτι ἡ σωματικὴ συναλλαγὴ μεγαλωτέραν δύναμιν ἔχει τῶν διὰ τῶν ἀκτίνων σχημάτων· τὸ μὲν γὰρ σῶμα φθείρει τὴν ἀκτῖνα, ἡ δὲ ἀκτὶς τὸ σῶμα οὐ φθείρει.

Οἱ παλαιοὶ σοφοί, ὅ τε Ῥάπτης[1] καὶ ὁ Μούγνης[2] καὶ ὁ Πὲσρ ὁ Ἰουδαῖος[3], ἰσοφωνοῦντες λέγουσιν ὅτε ἀπέχει ὁ ἐλαφρὸς ἀστὴρ τοῦ βαρέως μοίρας τρεῖς· τότε γὰρ καὶ συσχηματίζει αὐτῷ· λέγεται δὲ ἀπορρεῖν τούτου, ὅτε παρελθεῖν διάστημα ἑνὸς λέγουσι. ἡ δέ γε ἀπόρροια τῆς διαμέτρου μιᾶς μοίρας, ἡ δέ γε σύνοδος καὶ ἡ ἐξ αὐτῆς ἀπόρροια ἐπικρατεῖ καὶ λέγεται συνοδεύειν, ὅτε ἐντὸς τῆς ὡρισμένης αὐτῶν τῶν ἀστέρων εἰσὶν ἀκτῖνος.

4 εὐόδωσις] εὐόδισις cod., in lexicis non invenitur. 23 μεγαλωτέρα] Cf. supra, p. 101, 31. 28 παρελθεῖν] παρέλ^{θ} cod. λέγουσι] λ/^{εου} cod.

[1] Raptes?
[2] Mugnes. Cf. *Catal.*, II, 136, 24 et *supra*, p. 41.
[3] Πέσρ i. e. Sahl ben Bišr, cf. *supra*.

[F. 148v.] Αἱ δὲ ιδ′ διαθέσεις τῶν πλανητῶν ἀστέρων ῥωμαϊστὶ καὶ ἀραβιστὶ ἔχουσιν οὕτως.

α′ τὸ χρηματιστικόν	ἐλεκπέλ.
β′ τὸ ἀχρημάτιστον	ἐλετπάρ.
γ′ ἡ συναφή	ἐλελτεσάλ.
δ′ ἡ ἀπόρροια	ἐλενσερέφ.
ε′ ἡ κενοδρομία	χαλελσέηρ.
ς′ ἡ θηριώδης κενοδρομία	ἐλβάχση.
ζ′ ἡ μετακομιδή	ἐλνάκλ.
η′ ἡ συναγωγή	ἐλτζέμ.
θ′ ἡ ἀποστροφή	ῥάτἐλνούρ.
ι′ ὁ ἐμποδισμός	ἐλμένεγ.
ια′ ἡ παράδοσις τῆς κυβερνήσεως	τέφγ ἐλτετπήρ.
ιβ′ ἡ παράδοσις τῆς δυνάμεως	τέφγ ἐλκοῦβε.
ιγ′ ἡ δύναμις	ἐλκοῦβε.
ιδ′ ἡ ἀσθένεια	ἐλδόγφ.

Αἱ δὲ ἑρμηνεῖαι τῶν αὐτῶν ἔχουσιν οὕτως.

α′. τὸ χρηματιστικόν ἐστιν, ὅταν ὑπάρχῃ ὁ ἀστὴρ ἐν τόπῳ χρηματίζοντι.

β′. τὸ ἀχρημάτιστόν ἐστιν, ὅταν ὑπάρχῃ ὁ ἀστὴρ ἐν τόπῳ μὴ χρηματίζοντι [f. 149].

γ′. ἡ συναφή ἐστιν, ὅτε ἀπέρχεται ὁ ἀστὴρ συνάψαι ἑτέρῳ ἀστέρι.

δ′. ἡ ἀπόρροιά ἐστιν, ὅτε μετὰ τὸν τοιοῦτον συσχηματισμὸν παρέλθῃ ὁ ἀστὴρ τοῦ ἀστέρος καὶ ἀπορρεῖ ἐκ τούτου.

ε′. ἡ κενοδρομία ἐστίν, ὅτε οὐ βλέπει τινὰ τῶν ἀστέρων ἡ Σελήνη κατὰ τὸ νυχθήμερον.

ς′. ἡ θηριώδης κενοδρομία ἐστίν, ὅταν ἡ Σελήνη ἐν ζῳδίῳ εἰσελθοῦσα διέλθῃ τὸ τοιοῦτον ζῴδιον καὶ οὐ συνάψει τινὶ τῶν ἀστέρων.

ζ′. ἡ μετακομιδή ἐστιν, ὅτε συνάπτει ἀστὴρ ἀστέρι τινὶ καὶ μετὰ τοῦτο ἀπέρχεται πρὸς συναφὴν ἑτέρου ἀστέρος.

η′. ἡ συναγωγή ἐστιν, ὅτε τις τῶν ἀστέρων ὁραθῇ παρ᾽ ἑτέρων δύο ἀστέρων καὶ συνάξει τὰς αὐγὰς αὐτῶν.

θ′. ἡ ἀποστροφή ἐστιν, ὅτε ἀδυνατεῖ ὁ ἀστὴρ δέξασθαι ἀκτῖνα ἑτέρου ἀστέρος συσχηματίζοντος αὐτῷ ἔκ τε τοῦ ἀναποδισμοῦ ἢ ἐκ τοῦ ὑπάρχειν αὐτὸν ὕπαυγον.

ι′. ὁ ἐμποδισμός ἐστιν, ὅτε ἀστὴρ ἐπέρχεται συναφθῆναι ἀστέρι ἑτέρῳ καὶ πρὸ τῆς συναφῆς ταύτης ἀναποδίζει ἢ ἀπέρχεται μὲν ὁ ἀστὴρ συναφθῆναι ἑτέρῳ ἀστέρι, ὡς εἴρηται, καὶ πρὸ τῆς τοιαύτης συναφῆς συνάπτεται ὁ ἑπόμενος ἑτέρῳ ἀστέρι.

ια′. ἡ παράδοσις τῆς κυβερνήσεώς ἐστιν, ὅτε σημειωτικός τις

ἀστὴρ ὑποθέσεώς τινος συναφθῇ ἑτέρῳ ἀστέρι καὶ παραδίδοι αὐτῷ τὴν κυβέρνησιν.

ιβ'. ἡ παράδοσις τῆς δυνάμεώς ἐστιν, ὅτε ὑπάρχει ὁ ἀστὴρ ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι ἢ τριγώνῳ συνορίῳ ἢ ὁρίῳ σὺν δεκανῷ ἢ τριγώνῳ σὺν δεκανῷ καὶ συναφθῇ ἑτέρῳ ἀστέρι· παραδίδοι δὲ τότε αὐτῷ τὴν οἰκείαν δύναμιν.

ιγ'. ἡ δύναμίς ἐστιν, ὅτε ὑπάρχει ὁ ἀστὴρ ὠρθοποδισμένος ἐν τόποις οἰκείοις ἢ κέντρῳ.

ιδ'. ἡ ἀσθένειά ἐστιν, ὅτε ὁ ἀστὴρ ὑπάρχει ἀναπεποδισμένος καὶ ἀποκεκλικὼς καὶ ἐν ἀνοικείοις καὶ ἀλλοτρίοις τόποις.

Ἡ ἑρμηνεία τῆς δυνάμεως τῶν ἀστέρων τῶν μὴ ἐχόντων αἰτίαν καὶ ἐμποδισμὸν πρὸς τὸ γενέσθαι τὴν δουλείαν, ὅτε γένηται ὑπόσχεσις, ἀπὸ συσχηματισμοῦ τῶν δύο κυρίων ἢ ὑποδοχῆς τοῦ δεχομένου τὴν κυβέρνησιν καὶ τὴν οἰκονομίαν τῆς πράξεως τῆς δουλείας, εἰσὶ καταστροπαὶ ια'.

α'. ἵνα ὑπάρχῃ ὁ ἀστὴρ ἐν τόπῳ καλῷ ἀπὸ τοῦ ὡροσκόπου ἤγουν εἰς κέντρον ἢ εἰς ἐπαναφορὰν κέντρου ἀφ' ἧς βλέπει τὸν ὡροσκόπον.

β'. ἵνα ὑπάρχῃ ὁ ἀστὴρ ἐν ἑνὶ τῶν οἰκείων αὐτοῦ τόπων εἴτε εἰς οἶκον ἢ ὕψωμα ἢ ὅριον ἢ δεκανόν.

γ'. δ'. ἵνα [δὲ] μὴ κακοῦται ὁ ἀστὴρ παρά τινος τῶν κακοποιῶν διὰ συνόδου ἢ τετραγώνου ἢ διαμέτρου.

ε'. ἵνα μὴ συσχηματίζηται ἀστέρι ὄντι ἐν ἀποκλίματι ἢ ἀστέρι τεταπεινωμένῳ ἢ ἵνα μὴ ταπεινοῦται ἡ Σελήνη.

ς'. ἵνα ᾖ ὑποδεδεγμένος ὁ ἀστήρ.

ζ'. ἵνα εἰσὶν οἱ ὑψηλοὶ ἀστέρες ἀνατολικοί, οἱ δὲ χαμαλοὶ δυτικοί.

η'. ἵνα ὑπάρχῃ ὁ ἀστὴρ ἐν τῇ οἰκείᾳ αἱρέσει, ἤγουν εἰ μὲν ἐν ἡμέρᾳ ἐστὶν ἡ ἐρώτησις, ὑπάρχῃ ἡμερινός, εἰ δὲ ἐν νυκτί, νυκτερινός.

θ'. ἵνα ὑπάρχῃ ὁ ἀστὴρ ἐν ζῳδίῳ στερεῷ.

ι'. ἵνα ᾖ ὁ ἀστὴρ ἐγκάρδιος τῷ Ἡλίῳ ἐν μιᾷ δηλονότι μετ' αὐτοῦ μοίρᾳ, ἐπειδὴ τῶν μὲν ἀγαθοποιῶν, αὐξάνεται τὸ ἀγαθόν, τῶν δὲ κακοποιῶν, ἐλαττοῦται τὸ κακόν.

ια'. ἵνα ᾖ ὁ ἀρρενικὸς ἀστὴρ ἐν ἀρρενικῷ τεταρτημορίῳ, ὁ δὲ θηλυκὸς ἐν θηλυκῷ.

Αὗται οὖν αἱ σημασίαι εἰσὶν αἱ δηλοῦσαι τὴν τῶν ἀστέρων δύναμιν καὶ μὴ κωλύουσαι τὴν πρᾶξιν καὶ ἀπόβασιν τῆς δουλείας.

27 αἱρέσει] φαύσει cod., superscripsit manus altera αἱρέσει. 28 δέ inclusi.

[F. 150.] Ἡ δὲ ἑρμηνεία τῶν ἀσθενειῶν τῶν ἀστέρων ἐπί τε τοῖς γενεθλίοις καὶ ταῖς ἐρωτήσεσιν αἵ καὶ οὖσαι ἐναντίαι τῶν ῥηθεισῶν δυνάμεων τῶν ἀστέρων ἔχει οὕτως κατὰ τὸν Μούγνην.

α'. τὸ εἶναι τὸν ἀστέρα ἐν ἀποκλίματι, τῷ ς' δηλονότι καὶ ιβ' τόπῳ καὶ μὴ ὁρῶντι τὸν ὡροσκόπον.

β'. τὸ ἀναποδίζειν τὸν ἀστέρα.

γ'. τὸ εἶναι τὸν ἀστέρα ὕπαυγον.

δ'. τὸ συσχηματίζεσθαι τοὺς κακοποιοὺς ἀπὸ διαμέτρου ἢ τετραγώνου ἢ συνόδου.

ε'. τὸ ἐμπεριέχεσθαι τὸν ἀστέρα ὑπὸ τῶν δύο κακοποιῶν καὶ συνάπτειν ἑνὶ τούτων.

ς'. τὸ εἶναι τὸν ἀστέρα ἐν τῷ ταπεινώματι αὐτοῦ.

ζ'. τὸ συσχηματίζεσθαι ἀστέρι ἀποκεκλικότι τοῦ ὡροσκόπου ἢ τὸ ἀπορρεῖν ἀστέρος ἐξ οὗ ὑπεδέχετο· λέγει δὲ εἰς τὴν ὑποδοχὴν ταύτην ὁ Ἀπομάσαρ, ὅτι τότε ἐστὶν ἐρήμωσις τῆς ὑποδοχῆς ταύτης, ὅτε μετὰ τὴν ἀπόρροιαν ταύτην τὴν ὑποδεδειγμένην συναφθῇ ἑτέρῳ ἀστέρι ἀνυποδείκτως· εἰ δὲ μεθ' ὑποδοχῆς, ἐστὶ καλόν. εἰ δ' ἴσως μετὰ τὴν ἀπόρροιαν τῆς ὑποδοχῆς οὐ συνάπτει τινὶ τῶν ἀστέρων, οὐ πολλά ἐστι κακά.

η'. τὸ εἶναι τὸν ἀστέρα ἐν τόπῳ ἀλλοτρίῳ.

θ'. τὸ εἶναι τὸν ἀστέρα μεθ' ἑνὸς τῶν συνδέσμων πλάτος μὴ ἔχοντα.

ι'. τὸ βλάπτειν τὸν ἀστέρα ἑαυτόν, ἤγουν εἶναι αὐτὸν ἐν ᾧ ἐναντιοῦται ζῳδίῳ.

Αὗται αἱ σημασίαι εἰσὶν αἱ ἐμποδίζουσαι τὰς δουλείας πάσας καὶ πρόσεχε ἵνα μή τι ἐκ τῶν δέκα τούτων κεφαλαίων ἔχει ὁ ἀστὴρ ὁ κάπελ ὁ καὶ ἐπικρατήτωρ καὶ δοχεὺς καὶ κυβερνήτης τῆς δουλείας, ὁ δεχόμενος δηλονότι τὰς ἀκτῖνας τοῦ ἐλαφροῦ ἀστέρος.

[F. 151v.] Κρίσις Οὐάλεντος διὰ τὸν Μουχοῦμετ [1].

Ἠρωτήθη Οὐάλης ὑπὸ τοῦ βασιλέως τῶν Περσῶν καὶ εὑρέθη ὁ ὡροσκόπος Ἰχθύες καὶ ἐν τῷ μεσουρανήματι Τοξότης καὶ καθεξῆς Κρόνος ἐν τῷ τρίτῳ, Ἀναβιβάζων ἐν τῷ τετάρτῳ, Σελήνη ἐν τῷ πέμπτῳ, Ἀφροδίτη καὶ Ἄρης ἐν τῷ ἑβδόμῳ εἰς τὴν Παρθένον, Ἥλιος

20 κακά] κακόν cod. 26 κάπελ vel κάπεν cod.; est nomen arabicum.

---

[1] Fabellas de Vettio Valente, celeberrimo astrologo, scriptores medii quod dicitur aevi excogitasse nemo mirabitur (cf. *Catal.*, V, part. 1, p. 118, n. 2). Cum hac narratiuncula cf. thema Mohamedis Stephano Alexandrino suppositum (supra, cod. 21, f. 523). [F. C.]

ἐν τῷ ἐννάτῳ εἰς τὸν Σκορπίον, Ζεὺς καὶ Ἑρμῆς καὶ Καταβιβάζων ἐν τῷ δεκάτῳ εἰς τὸν Τοξότην.

Ἐσκοπήσαμεν οὖν τὴν τοιαύτην ἐρώτησιν καὶ εὕρομεν τὸν ὡροσκόπον οἶκον Διὸς ἐν τοῖς αὐτοῦ ὁρίοις συνοδεύοντα τῷ Ἑρμῇ ἐν τῷ μεσουρανήματι· καὶ ἀμφότεροι ἀνατολικοί. ἦν δὲ καὶ τῆς ἡμέρας κύριος ὁ Ζεὺς καὶ τῆς ὥρας ὁ Ἑρμῆς καὶ ὁ Καταβιβάζων μετ' αὐτῶν καὶ εἰς τὸ μεσουράνημα ὁ Ἀναβιβάζων καὶ εἰς τὸν ἕβδομον ὁ Ἄρης σὺν τῇ Ἀφροδίτῃ, ὁ Κρόνος εἰς τὸν τρίτον τόπον τὸν περὶ ἀδελφῶν, ὁ δὲ τρίτος τόπος ἀνθρωπόμορφον ζῴδιον. καὶ εἰς τὴν ἐρώτησιν ταύτην δυνατώτερον τοῦ Διὸς οὐχ εὕρομεν ἀστέρα. καὶ εἴπομεν ὅτι ἡ ἐρώτησίς <ἐστι> διὰ ἄνθρωπον ἔνδοξον. διότι δὲ εἶδον τὸν Ἑρμῆν συνοδεύοντα τούτῳ, εἶπον ὅτι οὗτος ἄνθρωπός ἐστι λόγιος. διὰ δὲ τὸν Ἀναβιβάζοντα εἶπον ὅτι ἐνεργεῖ τὴν τοιαύτην λογιότητα μετὰ τῆς κεφαλῆς τῶν πραγμάτων· διότι δὲ <ἦν> καὶ ἐν τῷ μεσουρανήματι, εἶπον· ὁ τοιοῦτος ἢ ἔχει μεγάλην ἐξουσίαν ἢ ἕξει. διότι δὲ ἦν ἐν τῷ Διὶ ὁ Ἄρης, ἔχει πολέμους καὶ ἀκαταστασίας καὶ φόβους. διότι δὲ ἦν μετ' αὐτοῦ ἡ Ἀφροδίτη, εἶπον ὅτι ἔστι πόρνος καὶ πότης. διότι δὲ ἦσαν εἰς τὸν οἶκον τοῦ Ἑρμοῦ ἀμφότεροι, εἶπον ὅτι ὁ τοιοῦτος ψεύστης ἐστι. καὶ ἡ πίστις ἣν κρατεῖ πεπλανημένη ἐστίν.

Εἶπέ μοι ὁ βασιλεὺς τῶν Περσῶν· καὶ τί βλέπεις ἐπ' αὐτῷ; καὶ εἶπον ὅτι ὁ ἄνθρωπος οὗτος ὑψωθήσεται καὶ μέλλει κρατῆσαι χωρῶν καὶ εὐφημηθῆναι παρὰ πολλῶν ἀνθρώπων. ἐπεὶ δὲ εὗρον τὸν Ἀναβιβάζοντα ἐν τῷ τετάρτῳ τόπῳ ἐν οἴκῳ Ἑρμοῦ, τὸν δὲ κύριον αὐτοῦ ἐν τῷ κάτω συνοδεύοντα τῷ Διί, εἶπον ὅτι τέλος αὐτοῦ ἔσται τὸ δοθῆναι τὴν ἐξουσίαν αὐτοῦ ἀνθρώποις κακοῖς καὶ μιαροῖς, οἵτινες ὑψωθήσονται καὶ δείξουσιν ἰδίαν γνῶσιν καὶ πίστιν· οὐκ ἔσται δὲ ἀληθῆ. διότι δὲ εὗρον τὸν Κρόνον εἰς τόπον ἀδελφοῦ, εἶπον ὅτι οἱ ἀδελφοὶ αὐτοῦ <. . . .> ἵνα ἀνατρέπωσι τὰ λεγόμενα παρ' αὐτοῦ καὶ ἐλέγχωσιν αὐτὸν ψεύστην. διότι δὲ εὗρον τὸν Δία εἰσερχόμενον εἰς τὸν Αἰγοκέρωτα — ὁ δὲ Αἰγόκερως γεώδης —, εἶπον ὅτι ὁ τοιοῦτος ὑποτάξει ἀπὸ δυνάμεως γῆν καὶ κυριεύσει αὐτῆς. διότι δὲ ἦν ὁ Ἄρης ἐν τῷ Διὶ μέλλων εἰσέρχεσθαι εἰς τὸν Ζυγόν, εἶπον ὅτι ὁ τοιοῦτος φοβηθήσεται καὶ φύγῃ.

Καὶ εἶπον ἀπὸ τῆς ἐρωτήσεως ταῦτα, ἃ οὐκ εἶπεν ἕτερος. οὐκ ἐγίνωσκον δὲ διὰ τὸν Μουχοῦμετ εἶναι τὴν ἐρώτησιν. ἐθυμώθη οὖν ὁ βασιλεὺς τῶν Περσῶν καὶ εἶπεν· ἐγκλείσατε αὐτὸν τῇ φυλακῇ καὶ εἰ μὲν λέγει ἀληθῶς, ἵνα ἐκβληθῇ· εἰ δὲ μή, ἵνα ἀναιρεθῇ.

Καὶ ἐγίνετο οὕτως. ὁ δὲ θεὸς ἐρρύσατό με καὶ ἔφυγον εἰς τοὺς

5 μεσουρανήματι] ὑπογείῳ cod.; corr. Cumont coll. v. 19. 8 Κρόνος] ♄ in rasura. 11 ἐστι add. 14 ἦν add. 15 μεγάλην ... ὁ Ἄρης, ἔχει omiserat cod., add. in marg. manus eadem. 22 εὗρον corr. librar. ex εὕρων. 24 ante κάτω superscr. man. ead. δε. 28 post αὐτοῦ lacunam statui.

Ἄραβας καὶ εἶδον τὸν γαμβρὸν τοῦ Μουχοῦμετ πολεμοῦντα τότε τοὺς Πέρσας. καὶ εἶπον αὐτῷ τὴν τοιαύτην κρίσιν καὶ ἐθαύμασεν καὶ ἠρώτησέ με περὶ ἑαυτοῦ. Καὶ εἶπον αὐτῷ ὅπερ ἐνόουν.

Πόνημα Οὐάλεντος.

Λέγει ὁ Οὐάλης· βλέπε εἰς τὴν ἐρώτησιν τοὺς ἀστέρας τοὺς ὄντας εἰς τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα καὶ εἴπερ δηλοῦται ἡ ἐρώτησις ἀπ' ἐκείνων καὶ μάλιστα ὅταν ἔχωσι πλείονας λόγους εἰς αὐτοὺς οἱ ἀστέρες οἱ ὄντες ἐν αὐτοῖς καὶ οἱ κύριοι τῶν τοιούτων ζῳδίων καὶ ὅταν μὲν ἀπορρέῃ ἀπ' ἐκείνων κακοποιὸς ἀστήρ, λέγε περὶ τοῦ παρελθόντος. ὅταν δὲ ἀπέρχωνται εἰς σχηματισμόν, λέγε περὶ τοῦ μέλλοντος. καὶ ταῦτα μὲν ὅταν ἀπορρέῃ καὶ σχηματίζῃ ἐν ἐκείνῳ τῷ ζῳδίῳ, ἐν ᾧ ἐστιν. εἰ δὲ ἐξέλθῃ καὶ οὕτως σχηματίζῃ, οὐκ ἔστι δυνατόν.

<Δωροθέου.>

Εἶπεν ὁ Δωρόθεος· ἐὰν ἐρωτηθῇς ἐρώτημα καὶ βλέπῃς ὅτι περὶ ἐλπίδος ἀγαθῆς ἐστι τὸ ἐρώτημα καὶ εὕρῃς τὴν Σελήνην <συ>σχηματιζομένην ἀγαθοποιῷ, τὸν δὲ τοιοῦτον ἀστέρα ἐν κέντρῳ <ὄντα> καὶ λόγον ἔχοντα εἰς τὸ τοιοῦτον κέντρον ἢ ὄντα μετὰ τὸ κέντρον, τὸν δὲ κύριον τοῦ πρώτου τριγώνου τοῦ ὡροσκόπου εἰς τόπον δυνατόν, ἡ δὲ ὡροσκοποῦσα μοῖρα συσχηματίζηται ἀγαθοποιῷ, ὦσι δὲ καὶ οἱ κύριοι τῶν φωστήρων βλέποντες τοὺς ἰδίους τόπους, καὶ μάλιστα ὅταν ὁ ὡροσκόπος εἴη ζῴδιον στερεὸν ἢ δίσωμον καὶ οὐχὶ πλάγιον, κρῖναι ὅτι ἡ τοιαύτη ἐλπὶς πληρωθήσεται καλῶς [f. 152] καὶ συντόμως. ἐπιμαρτυροῦν δὲ γράψον καὶ τὸ δωδεκατημόριον τῆς Σελήνης. εἰ μὲν οὖν βλέπει τὸ τοιοῦτον δωδεκατημόριον ὁ κύριος αὐτοῦ, λέγε ὅτι γενήσεται. ὅθεν ἐὰν θέλῃς ἰδεῖν καὶ τὸ ποσὸν τοῦ τοιούτου πράγματος καὶ τὸ εἶδος, λάβε τοῦτο ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου, ἐν ᾧ ἐστιν ὁ κύριος τοῦ ὡροσκόπου καὶ οὕτως ἵνα νοήσεις.

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι ὅτι ἐὰν ἐρωτηθῇς εἰ γίνεται τόδε τὸ ἀγαθὸν ὅπερ ἐλπίζει τις, ἐὰν εὕρῃς ὅτι κενοδρομεῖ ἡ Σελήνη ἢ συσχηματίζεται κακοποιῷ καὶ οὐκ ἔχει λόγον ὑποδοχῆς εἰς ἐκεῖνον ἢ ὅταν οἱ κύριοι τῶν φωστήρων καὶ οἱ τριγωνοκράτορες αὐτῶν μὴ ὦσιν ἐν κέντρῳ ἢ ἐπαναφοραῖς καὶ ὦσιν ἐν τῷ δωδεκάτῳ ἢ τῷ ἕκτῳ ἢ ὅταν οἱ κακοποιοὶ συσχηματίζωνται μοιρικῶς τῇ ὡροσκοπούσῃ μοίρᾳ καὶ εἰ ἔνι ὁ κύριος

13 Δωροθέου addidi. 15-16 σχηματιζομένην cod. 16 ὄντα add. 17 ἢ ὄντα μετὰ τὸ κέντρον omis. cod., addidit man. ead. 26 καὶ ὁ κύριος τῆς Σελήνης post ὡροσκόπου addiderat cod., sed del. man. ead. 29 τόδε] τό τε cod.

τοῦ δρίου τοῦ ὡροσκόπου εἰς ὅρια κακοποιοῦ ἢ ὕπαυγος ἢ ὑποποδίζων ἢ στηρίζων ἢ εἰς σκοτεινὴν μοῖραν καὶ εἴ ἐστιν ὁ κύριος τοῦ ὁρίου τοῦ ὡροσκόπου κακοποιὸς ἀστὴρ καὶ κακούμενος, γίνωσκε ὅτι τοῦτο ἀναμφιβόλως δηλοῖ μὴ πληροῦσθαι τὸ τοιοῦτον πρᾶγμα. βλέπε δὲ καὶ τοὺς κυρίους τῶν φωστήρων καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ εἰ βλέπουσι τοὺς τόπους αὐτῶν καὶ κακοῦνται ἢ ὦσιν εἰς ζῴδιον τροπικὸν ἢ πλάγιον, γίνωσκε ὅτι οὐ γίνεται.

Λέγει δὲ ὁ Οὐάλης ὅτι ἐγὼ ἀποδέχομαι τὴν κρίσιν τῶν Περσῶν καὶ οὕτως κρίνω ἐν τῇ τοιαύτῃ ἐρωτήσει.

Ἰνδῶν.

Λέγουσιν οἱ Ἰνδοὶ ὅτι δηλοῖ τὸ πρᾶγμα, περὶ οὗ ἡ ἐρώτησις, καὶ τὸ τέλος αὐτοῦ ὁ κύριος τοῦ ὡροσκόπου καὶ ὁ κύριος τῆς Σελήνης, ὅταν ὦσιν ἐν κέντρῳ ἢ ἐπαναφοραῖς καὶ ὦσιν ἀγαθοποιοὶ καὶ ἀπὸ τῶν ἀστέρων τῶν βλεπόντων εἰς αὐτόν. εἰ μὲν οὖν ἡ ἐρώτησις διὰ κακόν τί ποτε πρᾶγμά <ἐστι> καὶ εὕρῃς ἀγαθοποιὸν εἰς τὸ κέντρον σὺν τῷ κυρίῳ τοῦ ὡροσκόπου καὶ τὴν Σελήνην συσχηματιζομένην αὐτοῖς καὶ τοὺς κυρίους τῶν φωστήρων εἰς τόπον καλόν, λέγε ὅτι οὐ τελειοῦται. εἰ δὲ διὰ καλὸν ἡ ἐρώτησις, γίνωσκε ὅτι τελειοῦται.

Ἑλλήνων.

Λέγουσιν οἱ Ἕλληνες· ἐὰν ἐρωτηθῇς περὶ ἐλπίδος κακῆς ἢ φόβου καὶ εὕρῃς τὴν Σελήνην <συ>σχηματιζομένην κακοποιῷ καὶ τοῦτον εἰς κέντρον ἐν στερεῷ ζῳδίῳ <ὄντα> καὶ τὸ δωδεκατημόριον τῆς Σελήνης μετὰ τοῦ κυρίου αὐτοῦ ἢ βλέπει αὐτόν, γίνωσκε ὅτι τὸ τοιοῦτον κακὸν γίνεται. εἰ δὲ περὶ ἀγαθῆς ἐλπίδος ἡ ἐρώτησις, οὐ πληροῦται. μάλιστα δὲ φοβούμεθα μὴ γένηται εἰς βλάβην καὶ ἀπώλειαν τὸ ἐλπιζόμενον ἀγαθόν.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· πίστευσον τοῖς λόγοις ἡμῶν. ἐὰν εἰς ἐρωτήσεις ἐλπίδος ἀγαθῆς ἢ κακῆς εὕρῃς τοὺς ἀγαθοποιοὺς μετὰ τῶν κακοποιῶν ἐν τοῖς κέντροις, ὁμοίως καὶ τὴν Σελήνην συσχηματιζομένην τοῖς τόποις αὐτοῦ, ἰδὲ τοὺς ἔχοντας πλείονας δυνάμεις καὶ γίνωσκε ὅτι, ἐὰν ὁ κακοποιὸς ἔχῃ λόγον εἰς τὸν ὡροσκόπον καὶ μαρτυρίαν καὶ δύναμιν σὺν τῇ Σελήνῃ, ὁ τοιοῦτος οὐ καταλύει τὸ πρᾶγμα ἐκεῖνο, περὶ οὗ ἡ ἐρώτησις. εἰ δὲ ὁ ἀγαθοποιὸς ἔχει ὁμοίως, γίνωσκε ὅτι δυνατόν ἐστι τὸ τοιοῦτον πρᾶγμα καὶ εἰς μεγάλην ὠφέλειαν ἀποτελεῖται. ἐὰν

15 ἐστι add. 21 σχηματιζομένην cod. 22 ὄντα add. 31 τοῖς corr. ex τῆς. 33 γίνωσκε ὅτι post Σελήνῃ add. cod., delevi.

δὲ ὁ κακοποιὸς μὴ ἔχῃ λόγον ἐν τῷ ζῳδίῳ ἐν ᾧ ἐστιν ἢ ἐν τῷ ὡροσκόπῳ καὶ βλέπωσιν αὐτὸν οἱ ἀγαθοποιοί, παύεται τῆς ἰδίας κακίας καὶ στρέφεται πολλάκις εἰς τὸ ἀγαθόν. καὶ βλέπε, ὅταν πίπτωσιν οἱ ἀγαθοποιοὶ ἀστέρες εἰς κέντρον καὶ οἱ κακοποιοὶ εἰς κέντρον, ποῖά εἰσι τὰ κέντρα ἐν οἷς οἱ κακοποιοί, καὶ ποῖα τὰ ἕτερα ἐν οἷς οἱ ἀγαθοποιοί. καὶ εἰ μὲν οἱ κακοποιοὶ ἐν τῷ ὡροσκόπῳ καὶ τῷ μεσουρανήματί <εἰσιν>, οἱ δὲ ἀγαθοποιοὶ ἐν τῷ ἑβδόμῳ καὶ τῷ τρίτῳ, λέγε ὅτι ἡ ἀρχὴ κακὴ καὶ τὸ τέλος καλόν. εἰ δὲ τὸ ἐναντίον, λέγε πάλιν καὶ σὺ τὸ ἐναντίον.

Περὶ τοῦ τί δηλοῖ ἡ ἐρώτησις λέγει ὁ Πυθαγόρας.

Εἰ μὲν εὑρίσκεις τοὺς ἀστέρας τοὺς ἔχοντας πλείονας δυνάμεις εἰς τὴν ἐρώτησιν καὶ τὴν Σελήνην καὶ τὸν κύριον αὐτοῦ πίπτοντα ἀπὸ τῶν κέντρων, γίνωσκε ὅτι τὸ ζήτημα ἐκεῖνο διὰ φυγήν ἐστιν ἢ ἐξέλευσιν τῶν ἀπὸ κάστρων.

Τῶν Ἰνδῶν.

Εἴπερ βλέπεις τοὺς ἔχοντας λόγον ἀστέρας εἰς τὴν ἐρώτησιν καὶ τὴν Σελήνην καὶ τὸν κύριον αὐτοῦ εἰς κέντρον <ὄντα> καί ἐστιν ἡ ἐρώτησις περὶ ἐξελεύσεως, γίνωσκε ὅτι ἡ τοιαύτη ἐξέλευσις γίνεται μέν, ἀλλ' οὐχὶ ταχέως.

[F. 152v.] Βαβυλωνίων.

Λέγουσιν οἱ Βαβυλώνιοι· βλέπε εἰς πᾶσαν ἐρώτησιν τόν τε ὡροσκόπον καὶ τὸ μεσουράνημα καὶ τὸν ἑνδέκατον καὶ πῶς κεῖνται οἱ κύριοι αὐτῶν. εἰ μὲν οὖν κεῖνται καλῶς καὶ εἰς κέντρον καὶ οὐ κακοῦνται σὺν τῷ κυρίῳ τοῦ τετάρτου ὅ ἐστι τὸ τέλος τῆς ἀποβάσεως, γίνωσκε ὅτι ἐκείνη περὶ οὗ ἡ ἐρώτησις τελειοῦται καλῶς. εἰ μὲν οὖν δύο ἀπ' αὐτῶν εἰσι κακούμενοι, οἱ δὲ δύο ἀγαθοποιούμενοι, γίνωσκε ὅτι τὸ τοιοῦτον πρᾶγμα τελειοῦται. εἰ δέ ἐστιν εἷς ἐξ αὐτῶν ἀγαθοποιούμενος, οἱ δὲ λοιποὶ μὴ οὕτως ἔχουσι, λέγε κατὰ τὴν δύναμιν αὐτοῦ καὶ τοῦ τόπου αὐτοῦ τὸν σχηματισμὸν τῶν βλεπόντων αὐτοῖς ἀστέρων.

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· ὁ καιρὸς τῆς τελειώσεως τοῦ ἐρωτήματος ἢ τῆς καταλύσεως αὐτοῦ λαμβάνεται οὕτως. ποίησον περίπατον τοῦ ὡροσκόπου καὶ τοῦ ἑβδόμου τόπου καὶ ὅταν συσχηματίζωνται ἀγαθοὶ ἀστέρες, λέγε ὅτι γίνεται τὸ καλόν. ὅτε δὲ κακοποιοί, λέγε τὸ ἐναντίον.

6 εἰσιν add. 7 λέγει cod. 15 ἀστέρος cod. 16 ὄντα add.

εἰ δὲ θέλεις ἰδεῖν, πόθεν ἔρχεται τὸ καλὸν ἢ τὸ ἐναντίον, ἰδὲ τὸν κακοποιὸν ἢ τὸν ἀγαθοποιὸν ἀστέρα καὶ ἀπὸ τοῦ τόπου τοῦ θέματος, ἐν ᾧ ἔστι, κρῖναι.

Ἑλλήνων.

Λέγουσιν οἱ Ἕλληνες· εἰς πᾶσαν ἐρώτησιν ψηλάφησον τὰ τρία ταῦτα, τὸ παρεληλυθός, τὸ ἐνεστὼς καὶ τὸ μέλλον, καὶ εἰ μὲν ἐρωτηθῇς διὰ πρᾶξιν ἢ πρόσωπον, ἐὰν ἀπὸ τοῦ δεῖνα τόπου μετέπεσεν ἢ περὶ ἀποποιήσεως πραγμάτων, καὶ εὕρῃς τοὺς ἔχοντας ἀστέρας πλείονας λόγους εἰς τὸν ὡροσκόπον ἐν ἐκείνῃ τῇ ἐρωτήσει πεσόντας ἀπὸ τῶν κέντρων, γίνωσκε ὅτι μετέπεσε τὸ τοιοῦτον πρᾶγμα ἢ πρόσωπον ἀπωλέσθη.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· ἐὰν ἐρωτηθῇς διὰ πρᾶγμα, ὅπερ ἐλπίζει ἀπολαβεῖν τις ἀπό τινος καὶ εὕρῃς τοὺς ἔχοντας πλείονας λόγους εἰς ἐρώτησιν ἐπὶ κέντρῳ, γίνωσκε ὅτι τὸ τοιοῦτον ἐτελειώθη ἢ τελειοῦται.

Ἰνδῶν.

Λέγουσιν οἱ Ἰνδοί· ἐὰν ἐρωτηθῇς, εἰ γίνεται τὸ ζητούμενον πρᾶγμα καὶ εὕρῃς τοὺς ἔχοντας πλείονας λόγους ἀστέρας εἰς τὴν ἐρώτησιν ἢ εἰς κέντρον ἢ εἰς τὰς ἐπαναφοράς, λέγε ὅτι τὸ τοιοῦτον πρᾶγμα τελειοῦται.

Δωρόθεος.

Λέγει ὁ Ἕλλην Δωρόθεος ἐν τοῖς μυστηρίοις αὐτοῦ· ἐὰν θέλῃς νοῆσαι περὶ τίνος ἡ ἐρώτησις, ἰδὲ τὸν κύριον τοῦ πρώτου τριγώνου τοῦ ὡροσκόπου, ἐν ποίῳ ζῳδίῳ ἐστὶ καὶ ποίῳ τόπῳ. καὶ ἀπὸ τούτων λέγε τὴν ἐρώτησιν.

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι μετὰ τῶν Βαβυλωνίων ὅτι ἐὰν θέλῃς ἰδεῖν τίς ἐστιν ἡ θεωρία ἐκείνου περὶ οὗ ἡ ἐρώτησις, ὀφείλεις ἰδεῖν ἀπὸ τῶν ἀστέρων τὸν ἔχοντα πλείονας λόγους εἰς τὴν ἐρώτησιν ἐν ποίῳ ζῳδίῳ ἐστὶ καὶ κρατῆσαι τὸν κύριον τοῦ τοιούτου ζῳδίου καὶ τὸν κύριον τοῦ ὁρίου καὶ τριγώνου καὶ τὸν κύριον τοῦ ὑψώματος καὶ κατ' ἐκεῖνο εἰπεῖν.

17 ἐρωτηθῆ cod. 22 post Ἕλλην quattuor litterae (ικός ut videtur) erasae sunt. 30 post ἐστί addiderat librarius καὶ ποίῳ τόπῳ καὶ ἀπὸ τούτων, sed expunxit manus eadem. 31 τοῦ ὁρίου post τριγώνου superscripsit librarius.

Ὁ Ἀπομάσαρ.

Λέγει ὁ Ἀπομάσαρ· εἰ θέλεις ἰδεῖν τὸν καιρὸν τῆς ἀποβάσεως τοῦ μέλλοντος πληρωθῆναι ἐρωτήματος, ἰδὲ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν Ἥλιον καὶ σκόπησον ποῖος ἀπὸ τούτων τῶν δύο φωστήρων ἔχει πλείονας λόγους εἰς τὴν ἐρώτησιν καὶ εἰς τὸν ὡροσκόπον καὶ εἴπερ βλέπει αὐτὸν ὁ κύριος τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ἢ ὁ κύριος τῆς ἐρωτήσεως. καὶ ποίησον περίπατον τοῦ τοιούτου ἀστέρος. καὶ ὅταν συσχηματίζηται ἀγαθοποιῷ ἀστέρι ἢ συνάπτῃ, λέγε ὅτι γίνεται. εἰ δὲ θέλεις νοῆσαι ἐξ αἰτίας ποίου προσώπου ἢ πράγματος, βλέπε, εἴ ἐστιν ὁ τοιοῦτος ἀγαθοποιὸς κύριος τοῦ ἑνδεκάτου τόπου, λέγε ὅτι ἐξ αἰτίας φίλων καὶ ὁμοίως ἐπὶ τοῖς λοιποῖς τόποις. εἰ δὲ καί ἐστι κακοποιὸς ὁ συσχηματιζόμενος, λέγε ὁμοίως ἐξ αἰτίας ποίου προσώπου ἢ πράγματος καταλύεται.

Λέγει δὲ καὶ τοῦτο ὁ Ἀπομάσαρ· εἰς πᾶσαν ἐρώτησιν ποίησον ταῦτα καὶ γίνωσκε ὅτι τὰ μυστήρια τῆς ἀποτελεσματικῆς τέχνης ταῦτά εἰσι καὶ μὴ ἐπιλανθάνου τούτων.

Ἑλλήνων.

Λέγουσιν οἱ Ἕλληνες· γίνωσκε ὅτι οἱ ἀστέρες εἰς δύο μερίζονται, εἰς ἀγαθοποιοὺς καὶ κακοποιούς. καὶ ὅπου μὲν βλέπεις τοὺς ἀγαθοποιούς, εἰπὲ ἐκεῖ τὸ ἀγαθόν. ὅπου δὲ βλέπεις τοὺς κακοποιούς, εἰπὲ ἐκεῖ τὸ κακόν.

<Δωροθέου.>

Δωρόθεος λέγει· εἰ μέν ἐστιν ὡροσκόπος εἰς τὴν ἐρώτησιν δίσωμον ζῴδιον καὶ ἡ Σελήνη εἰς ζῴδιον τροπικόν, γίνωσκε ὅτι ἡ ἐρώτησις ἐκείνη οὐ τελειοῦται εἰ μὴ μετὰ δυνάμεως πολλῆς καὶ μαρτυρίας τῶν ἀγαθοποιῶν. καὶ εἴ ἐστιν ὁ ὡροσκόπος τροπικὸς καὶ ἡ Σελήνη ἐν ζῳδίῳ δισώμῳ, γίνωσκε ὅτι τὸ τοιοῦτον πληρωθήσεται μετὰ κακοπαθείας καὶ ἀνάγκης πολλῆς. εἰ δὲ ἔσται ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐν ζῳδίοις στερεοῖς, [f. 153] γίνωσκε ὅτι τὸ τοιοῦτον πρᾶγμα πληροῦται. πλὴν μὴ ἐάσῃς τὰς μαρτυρίας τῶν ἀγαθοποιῶν. εἰ δέ ἐστιν ὡροσκόπος καὶ ἡ Σελήνη ἐν ζῳδίῳ τροπικῷ καὶ ἴδῃς τὰς μαρτυρίας τῶν ἀγαθοποιῶν δηλούσας ὅτι τελειοῦται τὸ πρᾶγμα, γίνωσκε ὅτι τὸ τοιοῦτον μετὰ ἀνάγκης πολλῆς πληροῦται, πολλάκις δὲ οὐδὲ τελειοῦται. εἰ δέ ἐστιν ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐν ζῳδίῳ δισώμῳ καὶ δηλοῦσιν αἱ μαρτυρίαι τῶν ἀγαθοποιῶν, ὅτι τελειοῦται τὸ πρᾶγμα ἐκεῖνο, περὶ οὗ ἡ ἐρώτησις, γίνωσκε ὅτι πρὸ τοῦ πληρωθῆναι τοῦτο ὁ τοιοῦτος ὁ ἔχων τὸ ζήτημα καὶ ἕτερον ἐπισυνάψει τούτου.

15 ἐκεῖ] ἐκεῖνο cod. 21 Δωροθέου add.

Ἰνδῶν.

Λέγουσιν οἱ Ἰνδοί· ἐὰν εὕρῃς εἰς τὸν δεύτερον τόπον ἀπὸ τοῦ ὡροσκόπου τὴν Σελήνην εἰς Ζῴδιον δίσωμον, γίνωσκε ὅτι οὐκ ἐπεχείρησε ἐκείνῳ τῷ πράγματι πρὸ τῆς ἐρωτήσεως, εἰ μὴ τότε μέλλει ἐπιχειρῆσαι. εἰ δὲ βλέπεις τὴν Σελήνην ἐν τῷ δωδεκάτῳ Ζῳδίῳ δισώμῳ ὄντι, γίνωσκε ὅτι ἐπεχείρησε τῷ πράγματι πρὸ τοῦ ἐρωτῆσαι.

Οὐάλης.

Λέγει ὁ Οὐάλης καὶ οἱ Βαβυλώνιοι· εἰ βούλει γνῶναι, πότε ἔσται τὸ τέλος τῆς ἐρωτήσεως, ἰδὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν ὡροσκόπον καὶ ἰδὲ ποῖος ἀπὸ τούτων ἔχει πλείονας λόγους εἰς τὴν ἐρώτησιν καὶ ποῖος πλησιάζει τῇ ἐρωτήσει, καὶ οὗτος δηλώσει τὸν καιρὸν τῆς ἀποβάσεως. καὶ γίνωσκε ὅτι ἀληθέστερός ἐστιν ἀπὸ τούτων ὁ συσχηματιζόμενος τῷ ὡροσκόπῳ, ὅταν ἔχῃ πλείονας λόγους εἰς τὴν ἐρώτησιν.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· εἰ μέν ἐστιν ἡ ὡροσκοποῦσα μοῖρα παρὰ μηδενὸς συσχηματιζομένη ἀστέρος, ἰδὲ τὸν ἔχοντα πλείονα λόγον εἰς τὴν ἐρώτησιν, εἴπερ βλέπει τὸν Ἥλιον ἢ τὴν Σελήνην ἢ εἰς ἐκεῖνο τὸ Ζῴδιον, ἐν ᾧ ἡ ἐρώτησις. καὶ ποίησον περίπατον τοῦ τοιούτου ἀστέρος εἴς τε τοὺς ἀγαθοποιοὺς καὶ τοὺς κακοποιούς, ὥσπερ ποιεῖς ἐν τῷ γενεθλίῳ. καὶ ὅταν φθάνῃ εἰς ἀγαθοποιόν, λέγε ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ πληροῦται τὸ πρᾶγμα.

Οὐάλης.

Λέγει ὁ Οὐάλης· ἦσαν πολλοὶ ἄνθρωποι ἀπὸ τῶν μαθηματικῶν τῆς Βαβυλωνίας καὶ ἔβλεπον τὸν ἀστέρα τὸν ἔχοντα πλείονας λόγους εἰς τὴν ἐρώτησιν. καὶ ἐσκόπουν ἀπὸ τῶν δύο φωστήρων, ποῖος ἔχει πλείονας λόγους εἰς τὸν τοιοῦτον καὶ τὸν συσχηματιζόμενον αὐτῷ ἀγαθῷ σχήματι, καὶ ἐλάμβανον ἀπὸ τούτου τὸ τέλος τῆς ἀποβάσεως. καὶ ἔλεγον, ὅτι, ὅταν συνάπτῃ ὁ τοιοῦτος ἀστὴρ τῷ ὁρίῳ, ἐν ᾧ ἦν ὁ ἔχων πλείονας λόγους, τότε γίνεται τὸ ἀποτέλεσμα. ἔκρινον δὲ τοῦτο οὕτως, ὅταν ἐγίνωσκον, ὅτι ἀποτελεῖται τὸ πρᾶγμα, συνεργοῦσι δὲ μάλιστα καὶ αἱ τῶν ἀστέρων μαρτυρίαι. καὶ εἴδομεν γεγραμμένον ἐν τῷ βιβλίῳ τῶν μυστηρίων τῶν Ἰνδῶν ὅτι· ἰδὲ ἐν ταῖς ἐρωτήσεσι τὸν ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ· οὗτοι γάρ εἰσι δυνατώτεροι πάντων

3 οὐκ ex corr. 4 ἐκείνῳ corr. ex ἐκεῖνο librarius. inter ἐκείνῳ et πρό rasura; superscripsit librarius τῷ πράγματι. πρό] πρός cod. 6 ὄντι add. man. altera. 21 φθάνῃ = ἦ. Cf. Indicem.

τῶν ἀστέρων, ὥσπερ καὶ τὸ ζῴδιον, ἐν ᾧ ἐστιν ὁ Ἥλιος. ἔχει γὰρ δύναμιν ὑπὲρ πάντας ἀστέρας. καὶ γίνωσκε ὅτι τὰ γενέθλια καὶ τὰ ἐρωτήματα καὶ τὰ ἀγαθὰ καὶ τὰ ἐναντία ἐν τῷ ὡροσκόπῳ κεῖνται καὶ τῷ καταυγάσματι. καὶ ὥσπερ ὅταν ἀνέρχηται ὁ Ἥλιος ἀπὸ τοῦ ὁρίζοντος φέρει τὸ φῶς καὶ ἀφανίζει τὸ σκότος, οὕτως ὁ ὡροσκόπος τῆς ὥρας. τῆς ὥρας ἐκείνης δὲ λάβε ἀπὸ τούτων καὶ τὴν ἀπόβασιν. καὶ ποίησον τοὺς περιπάτους εἰς τὸν ἀγαθοποιὸν καὶ εἰς τὸν κακοποιὸν καί, εἰ μέν ἐστιν ὁ τοιοῦτος ἀστὴρ μετὰ τοῦ κυρίου τοῦ ὡροσκόπου ἢ μετὰ τοῦ κυρίου τῆς Σελήνης ἢ τοῦ τριγώνου τῆς Σελήνης ἢ τοῦ ὁρίου αὐτῆς ἢ μετὰ τοῦ κυρίου τῆς ὥρας, ποίησον περίπατον τοῦ τοιούτου ἀστέρος ἄνευ τοῦ ὡροσκόπου. καὶ ὅταν μὲν ἑνωθῇ ἀγαθοποιῷ, πληροῦται τὸ πρᾶγμα· ὅταν δὲ κακοποιῷ, καταλύεται.

<Περσῶν.>

Λέγουσιν οἱ Πέρσαι· εἰ ἐρωτηθῇς δι' ἐξέλευσίν τινος, ἰδὲ τὴν Σελήνην καὶ τὸ ζῴδιον, ἐν ᾧ ἐστι, καὶ τοὺς συσχηματιζομένους ἀστέρας αὐτῷ. εἰ μὲν οὖν οἱ τοιοῦτοι ἀπὸ τριγώνου ἢ ἑξαγώνου σχήματος βλέπουσιν αὐτό, λέγε ὅτι ὁ τοιοῦτος ἐξελεύσεται. εἰ δὲ ἀπὸ τετραγώνου, γίνωσκε ὅτι οὐκ ἐξελεύσεται. εἰ δὲ ἀπὸ διαμέτρου καὶ συνόδου, γίνωσκε ὅτι αἱ τοιαῦται μαρτυρίαι ψευδεῖς εἰσι καὶ οὐκ ἐξελεύσεται ὁ τοιοῦτος ἄνθρωπος ἀπὸ τοῦ τόπου ἐν ᾧ ἐστιν. εἰ δὲ ἐν κέντροις εἰσί, γίνωσκε ὅτι οὐκ ἀποδημεῖ ὁ τοιοῦτος, εἰ μήπου ὁ τοιοῦτος ἀστὴρ διέλθῃ ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστι. εἰ δὲ ἀπέκλιναν ἀπὸ τῶν κέντρων, γίνωσκε ὅτι ὁ τοιοῦτος ἀποδημεῖ.

Τῶν Βαβυλωνίων.

Λέγουσιν οἱ Βαβυλώνιοι· συσχηματιζομένης τῆς Σελήνης τῷ Ἄρει κατὰ πᾶν σχῆμα δηλοῦται περὶ ἐξελεύσεως. εἰ μὲν οὖν ἐστι τρίγωνον καὶ ἑξάγωνον, [f. 153v] δηλοῦται ὅτι συντόμως ἐξελεύσεται, εἰ δὲ ἀπὸ τετραγώνου καὶ διαμέτρου, βραδέως ἀργήσει.

Τῶν Ἑλλήνων.

Λέγουσιν οἱ Ἕλληνες· ὅταν ἀστὴρ ἀπὸ τοῦ ἐνάτου ἢ τοῦ τρίτου συσχηματίζηται τῷ ὡροσκόπῳ καὶ μάλιστα ὅτε ἐστὶν Ἄρης ἢ Ἀφροδίτη καὶ μὴ ὦσιν ὑποποδίζοντες ἢ στηρίζοντες, γίνωσκε ὅτι συντόμως δηλοῦται ἡ ἐξέλευσις.

4 De καταυγάσματι (= καταυγασμῷ) cf. Indicem. 10 αὐτῆς corr. ex αὐτοῦ librarius. 13 Περσῶν add. 22 ἀπέκλιναν ex corr. κέντρων] κένδρων (corr. ex δένδρων) cod. 32 συντόμως corr. ex σύντομος.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· εἰ βλέπεις τὴν Σελήνην ἀπορρέουσαν ἀπὸ ἀγαθοποιοῦ καὶ συσχηματίζουσαν ἀγαθοποιῷ καὶ ὅτε ἡ Σελήνη μετὰ τῶν ἀγαθοποιῶν ἐν κέντρῳ, γίνωσκε ὅτι ὁ τοιοῦτος οὐκ ἔχει βουλὴν ἐξελθεῖν.

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· ἰδὲ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον τῆς Τύχης. εἰ μὲν οὖν εὕρῃς ἀγαθοποιὸν συνοδεύοντα ἢ συσχηματίζοντα αὐτοῖς, γίνωσκε ὅτι ὁ τοιοῦτος ἄνθρωπος μέλλει ἐξελθεῖν καὶ μάλιστα ὅταν οἱ ἀγαθοποιοὶ κυριεύωσι τοῦ πρώτου τόπου καὶ τοῦ ἐνάτου καὶ τοῦ ἐνδεκάτου. εἰ δὲ ὦσι μετ' αὐτῶν κακοποιοί, γίνωσκε τὸ ἐναντίον.

Ἰνδῶν.

Λέγουσιν οἱ Ἰνδοί· ἐὰν ἐρωτηθῇς περὶ ἀνθρώπου, <εἰ μέλλει> ἐγκλεισθῆναι ἐν φυλακῇ ἢ ἕτερόν τι παθεῖν κακόν. εἰ μὲν εὕρῃς τοὺς ἀγαθοποιοὺς ἐν κέντρῳ καὶ τῷ ὡροσκόπῳ καὶ τὴν Σελήνην συνοδεύουσαν αὐτοῖς, τοὺς δὲ κακοποιοὺς ἀποκεκλικότας, γίνωσκε ὅτι ὁ τοιοῦτος ἄνθρωπος οὐ πάθῃ δεινόν τι πολλάκις καὶ εἰς ἀγαθὸν ἡ κακὴ ἐλπὶς αὐτοῦ μεταστρέφεται.

<Βαβυλωνίων.>

Περὶ ἐξελεύσεως λέγουσιν οἱ Βαβυλώνιοι· γίνωσκε ὅτι, εἰ συσχηματίζεται ἡ ὡροσκοποῦσα μοῖρα ἢ ἡ Σελήνη ὑπὸ κακοποιοῦ ἀστέρος ἢ συνοδεύηται, δηλοῦται ὅτι ἡ τοιαύτη ἐξέλευσις οὐ γίνεται. εἰ δὲ καὶ ἡ ὡροσκοποῦσα μοῖρα ἢ καὶ ἡ Σελήνη διῆλθε τὸν σχηματισμὸν τῶν κακοποιῶν, δηλοῦται ὅτι μέλλει ἐξελθεῖν.

Τῶν Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· εἰ μέλλεις νοῆσαι, εἴ ἐστιν ὁ δεῖνα ἐν τῷ οἴκῳ αὐτοῦ ἢ οὔ, ἢ τὸ πρᾶγμα τὸ δεῖνα ὅπου ἐτέθη ἢ οὔ, βλέπε τὸν κύριον τοῦ ἑβδόμου. εἰ μὲν ἔπεισιν ἀπὸ τῶν κέντρων εἰς τὸν δωδέκατον ἢ ἕκτον, γίνωσκε, ὅτι ὁ ἄνθρωπος ἐκεῖνος ἢ τὸ πρᾶγμα ἐκεῖνο οὐκ ἔστιν ἐν ἐκείνῳ τῷ τόπῳ. εἰ δὲ ἴδῃς τὸν τοιοῦτον ἀστέρα ἐν κέντρῳ, γίνωσκε, ὅτι ἐν τῷ τόπῳ αὐτοῦ ἐστιν, ἐν ᾧ ἐγίνωσκες εἶναι αὐτόν. καὶ εἴ ἐστιν ἐπαναφορά, γίνωσκε, ὅτι πλησίον τοῦ τόπου ἐκείνου ἐστὶ καὶ στρέφεται εἰς τὸν τόπον ἐκεῖνον. ὁμοίως καὶ περὶ τοῦ πράγματος.

10 συσχηματίζοντα corr. ex -τίζοντας. 11 τοῦ πρώτου τοῦ τόπου cod. 12 supra ἐνδεκάτου et εἰ rasura. 15 εἰ μέλλει addidi. 17 τήν (ante Σελήνην) ex corr. 21 Βαβυλωνίων add. 22-23 συσχηματίζεται corr. ex σχηματίζεται.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· ὅταν γένηται ἐρώτησις περὶ ἐξελεύσεως τοῦ δεῖνα, γίνωσκε ὅτι ὁ ὡροσκόπος καὶ ὁ κύριος αὐτοῦ καὶ ἡ Σελήνη [καὶ ὁ κύριος αὐτοῦ] δηλοῦσι περὶ τοῦ σώματος τοῦ ἀνθρώπου καὶ τῆς ψυχῆς καὶ περὶ τῆς ὁδοῦ, ὁ δὲ ἕβδομος τόπος καὶ ὁ κύριος αὐτοῦ τὴν γῆν, εἰς ἣν μέλλει ἀπελθεῖν, ὁ δὲ κλῆρος τῆς Τύχης καὶ ὁ κύριος αὐτοῦ δηλοῦσι τοὺς ἀνθρώπους τῆς χώρας ἐκείνης, εἰς ἣν ἀπέρχεται καὶ (εἰ θέλεις μαθεῖν) εἰ ἀποδέχονται τοῦτον καλῶς ἢ οὔ. τὸ δὲ μεσουράνημα καὶ ὁ κύριος αὐτοῦ δηλοῖ τί βούλεται ἐκεῖνος καὶ διὰ τί ἀπερχεται εἰς τὴν χώραν ἐκείνην καὶ ἀπὸ τοῦ τετάρτου κέντρου καὶ τοῦ κυρίου αὐτοῦ λάβε τὸ τέλος τῆς ἀποβάσεως. εἰ μὲν οὖν ὁ ὡροσκόπος καὶ ὁ κύριος αὐτοῦ καὶ ἡ Σελήνη μετὰ τοῦ κυρίου αὐτοῦ ἀγαθύνονται, ὁ τοιοῦτος ἔσται καὶ ὑγιεινὸς τὸ σῶμα, μέχρις ἂν ἀπέλθῃ εἰς τὴν χώραν ἐκείνην. καὶ εἰ εὕρῃς τὸν ἕβδομον τόπον καὶ τὸν κύριον αὐτοῦ καὶ τὸν κλῆρον τῆς Τύχης μετὰ τοῦ κυρίου αὐτοῦ ἀγαθυνομένους καὶ ἐν καλοῖς τόποις, λέγε ὅτι ὁ τοιοῦτος ἐν τῇ χώρᾳ ἐκείνῃ, εἰς ἣν ἀπέρχεται, ἀγαπηθήσεται καὶ τιμηθήσεται παρὰ πάντων καὶ ἔσται ἔχων καλῶς, μέχρις ἂν διέλθῃ ἀπ' αὐτοῦ. καὶ εἰ εὕρῃς τὸ μεσουράνημα καὶ τὸν κύριον αὐτοῦ ἀγαθυνομένους, λέγε ὅτι τὸ τοιοῦτον πρᾶγμα, περὶ οὗ ἐρωτᾷ, πληρωθήσεται καὶ τί ποτε ἐναντίον οὐ πάθῃ ἀπὸ τοῦ κυρίου τῆς χώρας ἐκείνης οὐδὲ νοσήσει καὶ πληρωθήσεται τὸ θέλημα τῆς καρδίας αὐτοῦ ἐν τῇ γῇ ἐκείνῃ. καὶ ἐὰν ὁ τέταρτος τόπος καὶ ὁ κύριος αὐτοῦ ἀγαθύνονται, ἔσται καὶ ἡ ἀπόβασις καλή. εἰ δὲ <ἐν> τῷ τοιούτῳ τόπῳ εὕρῃς κακοποιόν, λέγε τὰ ἐναντία.

<Ἑλλήνων.>

Περὶ ὑποστροφῆς καὶ τοῦ καιροῦ ταύτης λέγουσιν οἱ Ἕλληνες· τὴν ὑποστροφὴν δηλοῦσιν οἱ δύο φωστῆρες ὁ ὡροσκόπος καὶ ὁ κύριος αὐτοῦ καὶ ὁ κύριος τοῦ τετάρτου. καὶ ἰδὲ ποῖος ἀπὸ τούτων ἔχει δυνατώτερον λόγον εἰς τὴν τοιαύτην ἐρώτησιν. καὶ ποίησον περίπατον τοῦ τοιούτου ἀστέρος εἰς ἀγαθοποιὸν καὶ εἰς κακοποιὸν καὶ ὅτε μὲν φέρηται εἰς ἀγαθοποιόν, λέγε ὅτι ὁ τοιοῦτος ἄνθρωπος στρέφεται. εἰ δὲ εἰς κακοποιόν, λέγε ὅτι ὁ τοιοῦτος ἄνθρωπος βούλεται στραφῆναι, οὐ δύναται δέ.

Τῶν Ἰνδῶν.

Λέγουσιν οἱ Ἰνδοί· βλέπε τοὺς ἔχοντας πλείονας λόγους ἐν τῇ ἐρωτήσει. καὶ μᾶλλον βλέπε τὸν Ἥλιον καὶ εἰς τὸ δεξιὸν καὶ ἀριστερὸν

1 περὶ Αἰγυπτίων cod. 2 γένηται ex corr. 4 καὶ ὁ κύριος αὐτοῦ inclus. (dittogr.) Boll. post δηλοῦσι περὶ videtur deletum esse ἀ̅ν̅ο̅ς̅'. 11 λάβε τό ex corr. 19 ἀγαθυνομένους corr. ex -υνομένας. 21 νοσήσει corr. man. altera ex νοήσει. 23 ἐν addidi.

τετράγωνον αὐτοῦ. εἰ μὲν οὖν εὕρῃς κακοποιὸν εἰς τὸ τετράγωνον αὐτοῦ καὶ ἐρωτηθῇς περὶ ἐπανελεύσεως ἀποδημοῦντος, [f. 154] ὁ τοιοῦτος οὐ δύναται ἐξελθεῖν ἀπὸ τοῦ τόπου ἐκείνου, εἰ μὴ καὶ ἀγαθοποιοὶ βλέπουσιν ἐν τῷ τόπῳ ἐκείνῳ, ἢ στρέφεται, ὅτε ἐξέλθῃ ὁ Ἥλιος ἀπὸ τοῦ ζῳδίου, ἐν ᾧ ἐστιν ἡ τοῦ τετραγώνου τοῦ κακοποιοῦ ἢ ὅτε φθάσει ὁ Ἥλιος ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ ἦν ὁ κακοποιός.

Τῶν Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· ἐὰν ἐρωτηθῇς δι' ἄνθρωπον διελθόντα, εἰς ποῖον μέρος ἀπῆλθε τῆς οἰκουμένης, ἰδὲ τὸν ἔχοντα πλείονα λόγον εἰς τὴν ἐρώτησιν ἀπὸ τοῦ κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τῆς Σελήνης. καὶ μετὰ τὸ εὑρεῖν τοῦτον, ἐν ποίῳ ζῳδίῳ κεῖται, [καὶ] εἰ μέν ἐστιν ἀνατολικὸν ἐκεῖνο τὸ ζῴδιον, λέγε ὅτι εἰς ἀνατολὴν ἀπῆλθεν· εἰ δὲ δυτικόν, εἰς δύσιν· εἰ δὲ ἀρκτῷον, εἰς ἄρκτον· εἰ δὲ μεσημβρινόν, εἰς μεσημβρίαν. εἰ δὲ καὶ τὸν δηλωτικὸν ἀστέρα τοῦ τοιούτου τόπου εὑρήσεις ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ Ἡλίου, λέγε, ὅτι εἰς τὸ τοιοῦτον μέρος μάλιστα ἀπῆλθεν.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· εἰ μὲν εὕρῃς τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου εἰς ἓν ζῴδιον, γίνωσκε ὅτι ἐντεῦθεν δηλοῦται ὅ τε τόπος καὶ τὸ μέρος, εἰς ὃ ἀπῆλθεν ὁ ἐξελθών.

Λέγει ὁ Οὐάλης· ἔλεγεν εἷς ἀπὸ τῶν ἐπισήμων Αἰγυπτίων μαθηματικῶν· ἰδὲ τὸν ἔχοντα πλείονα λόγον ἐν τῇ ἐρωτήσει ἀστέρα, εἰς ποῖον ζῴδιον κεῖται, καὶ κρῖναι ἀπὸ τοῦ τοιούτου ζῳδίου τὸ μέρος, εἰς ὃ ἀπῆλθε.

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· βλέπε τοὺς ἀστέρας τοὺς ἔχοντας εἰς τὴν ἐρώτησιν δύναμιν καὶ μαρτυρίας. καὶ εἰ μὲν ὦσιν εἰς τὰς ἐπαναφορὰς τῶν δύο κέντρων τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος, γίνωσκε, ὅτι οὐκ ἐπεχείρησε τῇ ὑποθέσει ταύτῃ περὶ ἧς ἡ ἐρώτησις γέγονε πρὸ τῆς ἡμέρας τῆς ἐρωτήσεως. εἰ δὲ ἐν τοῖς ἀποκλίμασι τῶν δύο τούτων κέντρων, γίνωσκε, ὅτι ἐπεχείρησε πρὸ τῆς ἡμέρας τῆς ἐρωτήσεως.

2 ἠρωτήθης cod. 3 τοιοῦτος corr. ex τοίοῦτον. 11 καί uncinis seclusi. 13 et 14 δυτικός et ἀρκτῶος cod. μεσημβρηνός cod. 20 ὅ τε] ὅτι cod. 22 ἀστέρα] ἀστέρων cod. 27 ἐπαναφοράς ex corr.

[F. 154.] Παρεξεβλήθησαν λόγοι τοῦ Δωροθέου ἀπὸ βίβλου Σαρακηνικῆς ἔχοντες οὕτως[1].

Ἐνδέχεται εἰς πᾶσαν καταρχὴν βασιλέως ἢ ἀρχηγοῦ τινος ἢ ἑτέρου οἱουδήτινος ἀνθρώπου ἢ ἐπιχειρήσεως κτίσματος, ἵνα αὐξιφωτεῖ ἡ Σελήνη καὶ προστίθεται τοῖς ἀριθμοῖς βορεία τε οὖσα καὶ συνάπτουσα τῷ Διὶ ἢ τῇ Ἀφροδίτῃ. παρατηρεῖν δὲ δεῖ τὸ μὴ συνάπτεσθαι παρ' αὐτῆς τὸν Κρόνον· δηλοῖ γὰρ δυσχέρειαν ἐπὶ τῇ καταρχομένῃ πράξει καὶ ἐπὶ τῇ περί τινος ὑποθέσεως γενομένῃ ἐρωτήσει. εἰ δὲ ἡ Σελήνη συνοδεύει τῷ Ἄρει ἢ συσχηματίζει ἐπὶ καταρχῆς κτίσματός τινος, ἐπισυμβήσεται ἐμπρησμὸς ἢ χαλασμὸς ἢ πόλεμος, ἐὰν ἡ καταρχή ἐστι βασιλέως ἐπιχείρησις.

Δεῖ δέ σε παρατηρεῖν εἰς πᾶσαν καταρχὴν τὴν ἔκλειψιν τῆς Σελήνης καὶ τὰς λοιπὰς τῆς Σελήνης κακώσεις καὶ μᾶλλον, ἐὰν ἡ τοιαύτη γένηται ἔκλειψις, ἐν ᾧ ζῳδίῳ ἐστὶ κατὰ τὸν τῆς γεννήσεως καιρὸν ἢ ἐν τῷ τοιούτῳ τριγώνῳ ἢ τετραγώνῳ ἢ ὅτε ἐστὶν ὕπαυγος [f. 154v] ἢ ὅτε διαμετροῦσα τὸν Ἥλιον ἢ ὅτε συνοδεύει τῷ Καταβιβάζοντι ἢ τῷ Ἀναβιβάζοντι καὶ ὅτε ἐστὶν ἐν τῇ μοίρᾳ τοῦ δωδεκατημορίου τοῦ Κρόνου ἢ τοῦ Ἄρεως καὶ ὅτε συνοδεύει τινὶ τῶν κακοποιῶν ἢ ὁρᾷ τοῦτον δι' ἑνὸς τῶν λοιπῶν τεσσάρων σχημάτων καὶ ὅτε ἀπὸ τοῦ βορείου μέρους ἀπέρχεται πρὸς τὸ νότιον καὶ ὅτε ὁ δρόμος αὐτῆς ἐστιν ἥττων τῶν δώδεκα μοιρῶν. πολλοὶ γὰρ τούτου τοῦ δρόμου αὐτῆς καταφρονοῦσι· καὶ γίνεται βλάβη μεγάλη διὰ τὸ τοὺς παλαιοὺς εἰπεῖν παρόμοιον εἶναι αὐτὸ τῆς βραδυτῆτος τοῦ Κρόνου κινήσεως· καὶ ὅστις ἐν τοιούτῳ καιρῷ κατάρξηταί τινος, εὑρήσει ἐμποδισμὸν καὶ δυσχέρειαν καὶ βραδυτῆτα ἐπὶ τῇ τοιαύτῃ δουλείᾳ.

Δεῖ οὖν μηδὲ ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων τὴν Σελήνην εἶναι. εἰ δὲ εὑρεθῇ ἀπὸ τοῦ μεσουρανήματος κατερχομένη ἐπὶ τὸν θ', φθαρήσεται ἡ δουλεία ἐκείνη καὶ οὐ τελεσθήσεται. παριστῶ σοι δὲ ἐπὶ τοῦτο καὶ ὑπόδειγμα· οἷον ὅτι ἔτυχε τὸ μεσουράνημα Αἰγόκερω μοῖρα ι' καὶ ὁ θ' τόπος Τοξότου μοῖρα ιε' καὶ εὑρέθη ἡ Σελήνη μέσον τῆς ιε' μοίρας τοῦ Τοξότου καὶ τῆς ι' τοῦ Αἰγόκερω καὶ ἔδοξεν εἶναι αὐτὴν ἠσθενημένην καὶ τεταπεινωμένην ὥσπερ ἂν ὑπῆρχεν ἐπὶ τῷ τέλει τοῦ Ζυγοῦ καὶ ἐπὶ τὴν ἀρχὴν τοῦ Σκορπίου.

Εἰ δὲ καὶ ἐπέλθοι σοι κατεπείγουσά τις καταρχὴ καὶ οὐκ ἔχεις πλατυσμὸν καιροῦ, φρόντισον ἵνα θήσεις τὸν ἕνα ἀγαθοποιὸν εἰς τὸν ὡροσκόπον καὶ τὸν ἕτερον εἰς τὸ μεσουράνημα διὰ τὸ τοὺς ἀγαθο-

15 τοιούτῳ του (τ suprascr.) cod. 26 τελευταίοις cod.

[1] De libris Dorothei in arabicam linguam versis, cf. Roeper, ***Lectiones Abulpharagianae***, Danzig, 1844, p. 43 ss., Engelbrecht, ***Hephaestion von Theben***, 1887, p. 31 ss.

ποιοὺς ἀποδιώκειν τὴν βλάβην τῶν κακοποιῶν ἢ ὕφεσιν τοῦ κακοῦ σημαίνειν.

Δεῖ οὖν ἀναδιδάξαι σε καὶ τὰς τῶν ἀστέρων κακώσεις· πρωτοτύπως γὰρ κακόν ἐστι τὸ εἶναι τὸν ἀστέρα ὕπαυγον. καὶ πρόσεχε ἵνα μὴ ὁ ὕπαυγος ἀστὴρ ἢ ὁ ὑποποδίζων κυριεύει τοῦ ὡροσκόπου, ἵνα μηδὲ ᾖ ἐπὶ τῷ τέλει τοῦ Ζυγοῦ καὶ τῇ ἀρχῇ τοῦ Σκορπίου ἢ ἐν ἀποκλίματι ἢ συνοδεύει τινὶ τῶν κακοποιῶν ἢ ἑξαγωνίζει ἢ τετραγωνίζει ἢ τριγωνίζει ἢ διαμετρεῖ. ἐν τοιούτῳ γὰρ καιρῷ εἰ καταρχθῇ δουλείας, οὐ τελεσθήσεται. ἀλλ' οὐδὲ ἐν τῷ Αἰγοκέρωτι συμφέρει εἶναι τὴν Σελήνην τῷ ἐναντιώματι αὐτῆς· χεῖρον δὲ κακόν ἐστι τὸ τὴν Σελήνην ἀπορρεῖν κακοποιοῦ καὶ συνάπτειν κακοποιῷ.

Κακὸν δέ ἐστι καὶ τὸ ἐν ἑνὶ ζῳδίῳ ἐμπεριέχεσθαι τὸν ἀστέρα ὑπὸ τῶν δύο κακοποιῶν, ὡσαύτως καὶ ὅτε ὁ ἀστὴρ ζῳδιακῶς ἐμπεριέχεται, ἤγουν αὐτὸς μέν, ἵνα ᾖ ἐν τῷ ὡροσκόπῳ, ὁ δὲ εἷς κακοποιὸς ἐν τῷ δευτέρῳ τόπῳ καὶ ὁ ἕτερος ἐν τῷ δωδεκάτῳ τόπῳ. τὸ αὐτὸ γοῦν ἐστι καὶ ὅτε τὸ ὡροσκοποῦν ζῴδιον ἢ ἕτερόν τι ζῴδιον ἔχει ἕνα κακοποιὸν ἐν τῷ δευτέρῳ αὐτῷ ζῳδίῳ καὶ ἕτερον ἐν τῷ δωδεκάτῳ. ἰσχυροτέρα δὲ κάκωσίς ἐστιν, ὅτε ἐν τῇ τοιαύτῃ ἐμπεριοχῇ οὐ φθάνει ἀκτῖνα τοῦ Ἡλίου ἢ ἑνὸς τῶν δύο ἀγαθοποιῶν ἐντὸς ἑπτὰ μοιρῶν· τοῦτο γὰρ τὸ κακὸν παγκάκιστόν ἐστιν.

Εἰ δὲ καὶ ἐμπερισχεθῇ ἀστὴρ ἢ ζῴδιον τοιουτότροπον ὑπὸ τῶν δύο κακοποιῶν, ἐστὶ πάνυ κάλλιστον καὶ εὐτυχίας δηλωτικόν. ὁ δὲ Καταβιβάζων καὶ ὁ Ἀναβιβάζων βλάπτουσι τὸν Ἥλιον καὶ τὴν Σελήνην.

Οἱ δὲ Βαβυλώνιοι καὶ οἱ ἐν τοῖς ἀνατολικοῖς μέρεσιν οἰκοῦντες εἶπον ὅτι ὁ Καταβιβάζων μετὰ τῶν ἀγαθοποιῶν ἀγαθοποιός ἐστι καὶ μετὰ τῶν κακοποιῶν κακοποιός, ὁ δὲ Ἀναβιβάζων μετὰ τῶν ἀγαθοποιῶν κακὸς καὶ μετὰ τῶν κακοποιῶν καλός.

Ὁ Δωρόθεος πρὸς τούτοις λέγει καὶ τοῦτο ὅτι ἡ ἐν τοῖς γενεθλίοις φθορὰ τῶν ἀστέρων τοιουτοτρόπως γίνεται· ὅτε ὁ ἀστὴρ ὑπάρχει ὕπαυγος ἢ μεθ' ἑνὸς τῶν συνδέσμων ἢ μέσον τῶν δύο κακοποιῶν ἢ ὅτε κενοδρομεῖ καὶ οὐ συνάπτει τινὶ τῶν ἀστέρων καὶ ὅτε ὑπάρχει ἐν ἑνὶ τῶν δύο φαύλων ἀποκλιμάτων, τῷ ἕκτῳ δηλονότι καὶ τῷ δωδεκάτῳ καὶ ὅτε ᾖ ὑποποδισμένος.

Ὁ αὐτὸς Δωρόθεος εἶπε καὶ ἕτερά τινα κεφάλαια διάφορα περὶ τῆς τῶν ἀστέρων ἀσθενείας καὶ δυνάμεως τῶν μαρτυριῶν τούτων· ὅσα δὴ καὶ ὁ σοφὸς Μούγνης εἶπε καὶ διὰ [f. 155] τοῦτο περιττὸν ἔδοξεν ἡμῖν ἀπογράψασθαι καὶ ταῦτα ἐνταῦθα.

Ὁ αὐτὸς Δωρόθεος πρὸς τούτοις εἶπεν ὡς, ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου εὑρεθῇ ἀκάκωτος καὶ μὴ ὕπαυγος, δηλοῖ ἐπιτυχίαν τῆς δουλείας. εἰ δὲ ἐν τῇ δυνάμει αὐτοῦ ὢν ὁ ἀστὴρ συναντήσει κακοποιῷ,

3 σε] σοι cod. 6 τὴν ἀρχήν cod. 21 ante εἰ δὲ nonnulla excidisse videntur. 22 κάλιστον cod.

γενήσεται ἀποτυχία μετὰ τὴν ἐπιτυχίαν. εἰ δὲ καὶ ἡ Σελήνη ἐν τοῖς φαύλοις εὑρεθῇ ἀποκλίμασιν, ἀναμφίβολον ἔχε τὴν ἀποτυχίαν.

Λέγει ὁ αὐτὸς Δωρόθεος καὶ τοῦτο· τὰ πράγματα τοῦ γηίνου κόσμου τούτου γίνονται μὲν καὶ ἀπογίνονται. αἰτία δὲ <ἐκ> τῆς φύσεως τῶν ἐν τῷ οὐρανῷ ζῳδίων καὶ ἀστέρων ἀπό τε τοῦ συσχηματισμοῦ αὐτῶν πρὸς ἀλλήλους καὶ τῆς τούτων ἀπορροίας καὶ τοῦ χρηματιστικοῦ τούτων καὶ ἀχρηματίστου καὶ τῆς τούτων δυνάμεως προνοίᾳ καὶ οἰκονομίᾳ τοῦ δημιουργοῦ. καὶ ἐὰν εὑρεθῇ ὁ ἀστὴρ ἐν κέντρῳ ἢ ἐπαναφορᾷ κέντρου, σημεῖόν ἐστιν ἐπιτυχίας τῆς δουλείας. εἰ δὲ ἐν τοῖς δυσὶ φαύλοις ἀποκλίμασιν εὑρεθῇ, σημεῖόν ἐστιν ἀποτυχίας. καὶ πρόσεχε εἰς πᾶσαν καταρχήν, ἵνα μήτε ὁ κύριος τοῦ ὡροσκόπου μήτε ὁ κύριος τῆς δουλείας συνάπτει ἀστέρι ὑποποδισμένῳ ἢ ὑπαύγῳ· ἀσθενὴς γὰρ ὢν ὁ τοιοῦτος ἀστὴρ ἀποστρέφει τὰς ἀκτῖνας τοῦ συνάπτοντος αὐτῷ ἀστέρος καὶ οὐ προσδέχεται αὐτὰς διὰ τὴν τούτου ἀσθένειαν. χεῖρον δέ ἐστι τὸ τὸν ἀστέρα εἶναι ἐν ἀποκλίματι καὶ συνάπτειν ἀστέρι ὄντι αὐτῷ ἐν ἀποκλίματι· δηλοῖ γὰρ τοῦτο τὸ τὴν δουλείαν μήτε ἀρχὴν ἔχειν μήτε τέλος.

Καλόν ἐστι τὸ χρήσασθαί σε τοῖς ἡμερινοῖς ἀστράσιν ἐπὶ δουλείαις μελλούσαις ἐν ἡμέρᾳ καταρχθῆναι, τοῖς δὲ νυκτερινοῖς ἐπὶ δουλείαις μελλούσαις ἐν νυκτὶ καταρχθῆναι. Καλὸν δέ ἐστι καὶ τὸ τὸν ἀστέρα εἶναι ἐν οἰκείᾳ αἱρέσει, ἤγουν τὸ εἶναι τὸν ἡμερινὸν ἀστέρα ἐν ἡμέρᾳ ὑπὲρ γῆν ἐν ζῳδίῳ ἀρρενικῷ, τὸν δὲ νυκτερινὸν ἀστέρα ἐν νυκτὶ ὑπὸ γῆν ἐν ζῳδίῳ θηλυκῷ.

Ἡ δύναμις δὲ τοῦ Διός, τοῦ Κρόνου καὶ τοῦ Ἄρεως τότε ἐστίν, ὅτε ὑπάρχουσιν ἀνατολικοί, τῆς δὲ Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ ὅτε εἰσὶ δυτικοί. ἕκαστος δὲ τῶν ἀστέρων πάλιν ἰδίαν ἔχει δύναμιν αὖθις, ὅτε τέ ἐστιν ἐν τῷ ἰδίῳ οἴκῳ ἢ τῷ ὑψώματι ἢ τῷ τριγώνῳ ἢ τῷ ὁρίῳ καὶ τῇ οἰκείᾳ αἱρέσει καὶ ὅτε ταχυδρομεῖ καὶ ὅτε ἐστὶν ἐν κέντρῳ ἢ ἐπαναφορᾷ κέντρου καὶ ὅτε ἀνέρχεται κατὰ πλάτος πρὸς βορρὰν καὶ ὅτε ἐστὶν ἀκάκωτος ὡς προεδηλώσαμεν. εἰ δὲ εὑρεθῇ ὁ ἀστὴρ δυτικὸς ἢ ὑποποδισμένος ἢ ὕπαυγος, ἐστὶν ἀσθενής.

[F. 156.] Τοῦ Ῥητορίου[1].

Πρὸς τὸν Ἄρεα τρίγωνος ὢν ὁ Κρόνος εὐπορίας καὶ εὐπραγίας καὶ ἀρχῆς ποιητικός ἐστι. τὰ γὰρ τρίγωνα καὶ αἱ συμπαρουσίαι τῶν σχημάτων τῶν μὲν ἀγαθοποιῶν τὴν δύναμιν ἐπιτείνουσι, τῶν δὲ φθορο-

3 γηίνου] γῖνου cod. 3-8 haec potius Christiani cuiusdam esse quam Dorothei adnotat Boll. 4 ἐκ add. Cumont. 18 ἀστῆρσιν cod. 19 τοὺς δὲ νυκτερινούς cod. 22 ὑπό ex ὑπέρ corr. cod.

[1] De Rhetorio cf. Boll, *Catal.*, I, p. 141 seq. et *Sphaeram*, p. 11 sqq.

ποιῶν τὴν κακίαν ἀμβλύνουσιν. ὅθεν κἂν ὁ Ζεὺς μὴ ὁρᾷ, εὐπραγοῦσι, πλὴν πρεσβυτέρων ἀδελφῶν ὁρῶσι τελευτήν.

Ἐκ τοῦ γ′ βιβλίου τοῦ Δωροθέου[1] κεφάλαιον ο′.

Ἦν δ' ἄρ Ἐνυαλίῳ συνέῃ Κρόνος, ἤθεα τεῦξε
πρήεα· δὴ γὰρ Θοῦρος ἀεὶ σφοδρός τε καὶ ὠκὺς
εἰς ὁρμὰς ἄσκεπτον ἀεὶ τάχος ἠδ' ἀλόγιστον
θερμὸς ἐὼν ἤνεγκεν, ὁ δὲ βραδύς· ἀμφοτέρων δὲ
κιρναμένων μέσσος κείνων βροτὸς ἔσσετ' ἄριστος·

εἶτα προστίθησιν ὅτι κωλύσεις ἔργων καὶ χολῆς μελαίνης κίνησιν ποιεῖ

εἰ μὴ ἄρ Αἰγίοχος δαμάσει σθένος αὐλοὸν αὐτῶν.

Ὁ αὐτὸς βιβλίῳ δ′ ἐν τῷ περὶ ἐπεμβάσεων[2].

Ζῆνος δ' αὖ γενετῆρα μετὰ Κρόνον ἔμπυρος Ἄρης
ἢν ἀφίκοιτ' ὤτρυνε νόον καὶ ἀπήλασε θυμοῦ
ὄκνον ἀεργείης καὶ ἑτοιμότατον θέτο φῶτα
ἔντασιν ἐνθέμενον, ἵνα πήματα τοῖσι γένεται.

[F. 156v.] Τοῦ Σαραπίωνος.

Χαίρουσιν οἱ ἀστέρες ἐν τόποις ἀγαθοποιῶν καὶ συναιρεσιωτῶν ὥσπερ καὶ ἰδιοτοποῦντες· τότε γὰρ καὶ οἱ φθοροποιοὶ ἀγαθύνονται.

[F. 163.] <Πάλχου> ἐκ τῆς τῶν περὶ τὰ λεγόμενα ἀποτελέσματα ἐπτοημένων τερατολογίας.

Οὐκ ἔδει μὲν ἐμὲ μετὰ τὰς καταρχὰς Δωροθέου καὶ Μαξίμου κα τῶν λοιπῶν ἀρχαίων τὸν περὶ καταρχῶν λόγον ὑποτάξαι. ἀλλ' ἐπειδὴ παρὰ τῶν αὐτῶν ἀρχαίων ὠφεληθεὶς ἠδυνήθην κἀγὼ δι' ἐμαυτοῦ τινα ἐκ πείρας καταλαβεῖν, ταῦτα αὐτὰ ἐσπούδασα <συν>τάξαι τοῖς εἰς τοῦτο τὸ μέρος ἐσπουδακόσιν· εἴ τι γὰρ ἐπιτυχὼν καὶ αὐτὸς πλέον τι εἰσφέρειν δόξω ἢ οὐδὲν βλάψω παρὰ τοὺς ἀρχαιότερον ἐπιδειξάμενος περὶ τούτων τὴν ἐμὴν προαίρεσιν.

3 κεφάλαιον ο′] conf. Kroll, *Philol. N. F.*, XI, p. 129, et *Catal.*, VI, p. 81. 8 κιρναμένων] cf. Manethon, ed. Koechly, 1858, E 58-61, p. 101. μέσος cod. κείνων] κενὲων cod., corr. Boll. ἔσετ' cod. 11 Αἰγιόχοιο cod. 15 ἀεργείην cod., corr. Boll. 16 τισί cod. 25 ἐσπούδαζα cod. τάξαι cod., corr. Cumont.

---

[1] Ex carmine Dorothei, ex quo hi sex versus excerpti sunt, non ex Anubione fluxerunt vestigia dactylica Anonymi de planetis (*Catal.*, II, p. 160 sqq.). Conf. quae de his propediem pluribus in Herma, XLV (1910) disputabo.

[2] Cf. paraphrasin prosa oratione confectam, *Catal.*, II, p. 197, 1-2 : ὁ Ἄρης ἐπὶ Κρόνον ἐλθὼν ἀόκνους καὶ ἑτοίμους καὶ πρακτικοὺς ποιεῖ καὶ κατ' ἐχθρῶν διεγείρει.

Περὶ καταρχῶν.

Ἐπὶ ἑκάστης καταρχῆς λάμβανε τὸν πυλεύοντα καὶ διέποντα καὶ ζήτει, εἰ ἀφαιρεῖ ἢ προστίθει, εἶτα τὸν ὡροσκόπον, ἐν ποίῳ ζῳδίῳ ἐστί, στερεῷ ἢ δισώμῳ ἢ τροπικῷ, καὶ τὸ ζῴδιον, πότερον τῶν ὀρθῶν ἐστιν ἢ τῶν πλαγίων καὶ πότερον τῶν ὑγρῶν ἢ τῶν χερσαίων καὶ τῶν τετραπόδων ἢ τῶν φωλευόντων. Ζήτει δὲ καὶ τὸν κύριον τοῦ ὡροσκόπου, ποίαν ἔχει φάσιν, ἑῷος ἢ ἑσπέριος ἢ δύνων ἢ ἀρκτῷος, προσθέτης ἢ ἀφαιρέτης, ὑψοῦται ἢ ταπεινοῦται, ἐναντιοῦται ἢ ἐν ἰδίῳ οἴκῳ ἐστὶν, εἶτα ἐν ποίῳ ἕστηκεν τόπῳ, ἐπίκεντρος ἢ ἐπαναφερόμενος ἢ ἀποκλίνας, ταχυαναφόρος ἢ βραδυαναφόρος, ὑπὸ τίνων δὲ θεωρεῖται, ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν. ἐπὶ τούτοις τὸν Ἥλιον καὶ τὴν Σελήνην ἐν ποίοις τόποις τετυχήκασι καὶ ὑπὸ τίνων θεωροῦνται καὶ τίνων ὅριά εἰσι καὶ εἰ ἐν λαμπρομοιρίαις, καὶ τοὺς τριγωνικοὺς δεσπότας τοῦ ὡροσκόπου καὶ τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τοὺς οἰκοδεσπότας τοῦ Ἡλίου καὶ τῆς Σελήνης, ἐν ποίοις τόποις εἰσὶ καὶ ποίας φάσεις ἔχουσιν, ἀφαιρετικὰς ἢ προσθετικάς, καὶ εἰ ἐπιβλέπωσι τὰ φῶτα, μάλιστα εἰ ὁ οἰκοδεσπότης τῆς Σελήνης μὴ ἐναντιοῦται τῇ Σελήνῃ καὶ εἰ ἐν καλῷ τόπῳ κεῖται καὶ εἰ ἐπιθεωρεῖ αὐτὴν καθ᾽ οἷον δήποτε τρόπον, πλὴν καὶ εἰ ἐκδέχεται αὐτῆς τὴν παρουσίαν. Ζήτει δὲ καὶ τὴν Σελήνην ἐν ποίῳ ζῳδίῳ ἕστηκεν ἐν τροπικῷ ἢ δισώμῳ ἢ ἐν ἄλλῳ ζῳδίῳ καὶ εἰ αὔξει ἢ λήγει ἢ προστίθει ἢ ἀφαιρεῖ, εἰ ταχυδρομεῖ ἢ ὀλιγοδρομεῖ. Ζήτει δὲ καὶ τὸν κλῆρον τῆς Τύχης ἐν ποίῳ τόπῳ ἕστηκεν καὶ εἰ θεωρεῖ ὁ Ἥλιος τὸν κλῆρον τῆς Τύχης (ποιεῖ γὰρ ἐπιτυχίας) καὶ τὸν κύριον τοῦ κλήρου τῆς Τύχης. σκέπτου δὲ καὶ τὰς ἀπορροίας καὶ τὰς συναφείας τῆς Σελήνης καὶ τὰ δωδεκατημόρια αὐτῆς καὶ τοῦ ὡροσκόπου. Ζήτει δὲ καὶ τοὺς παρανατέλλοντας τῷ ὡροσκόπῳ καὶ τῇ Σελήνῃ καὶ τοῖς λοιποῖς καὶ τὰ πρόσωπα τῶν δεκανῶν καὶ τῶν ὁρίων τὰ ἀποτελέσματα καὶ τὴν Σελήνην ζήτει, μὴ ἐν ταῖς ἐκλειπτικαῖς ἢ ταῖς ἀφωτίστοις μοίραις τυγχάνει μάλιστα ἐν τῷ Ἀναβιβάζοντι καὶ εἰ μὴ κενοδρομεῖ ἢ ἐπὶ σύνδεσμον φέρεται τοῦ Ἡλίου [f. 163v] ἢ διχοτομεῖται πρὸς Κρόνου ἢ ἀπόστροφός ἐστι τοῦ ἰδίου οἰκοδεσπότου ἢ ἐμπεριέχεται ὑπὸ Ἄρεως καὶ Κρόνου. ἐὰν γὰρ καὶ δίσωμος τύχῃ ἡ Σελήνη πρὸ τοῦ ὡροσκόπου ἐν τῷ ἄνω ἡμισφαιρίῳ, δηλοῖ ὅτι τὸ πρᾶγμα καὶ πρὸ τούτου ἐκινήθη ὡς εἶναι δευτέραν ἐρώτησιν. εἰ δὲ μετὰ τὸν ὡροσκόπον τύχῃ ἡ Σελήνη ἐν τῷ κάτω ἡμισφαιρίῳ, δηλοῖ ὅτι τὸ πρᾶγμα πρῶτον ἤρξατο καὶ πάλιν ἄρχεται. Ζήτει δὲ καὶ τὸ πρόσωπον τοῦ δεκανοῦ ἐν ᾧ ἐστιν ὁ ὡροσκόπος· φυλάττου δὲ καὶ τὰς γ′ ἐννεάδας τῆς Σελήνης καὶ τὰς δ′ ἑβδομά-

7 προσθέτης ex προστέθης corr. librar. 8 ἀφαιρέτης ex ἀφαιρεῖ corr. librar. 12 ὅριά] ὁρίοις? Cumont. 17 οἰκοδεσπ. ex δικοδεσπ. corr. 28 δέ post Σελήνην delevi. 32 δίσωμος] δισώμω cod. 36–p. 127, 9 primus ed. F. Cumont, *Revue des ét. anciennes*, IV, 1902, p. 290 s. et *Catal.*, V, 1, p. 179 ex codd. Angel. 29 et Ambros. B. 38 sup.

δας καὶ παντὸς μηνὸς κατὰ Ῥωμαίους τὴν η′ ἡμέραν καὶ τὴν ιη′ καὶ τὴν κη′· πρὸς δὲ πολλὴν ἀσφαλείαν καὶ τὰς ληδούνας καὶ τὰς μαλίνας τῆς Σελήνης καθὼς οἱ Γαλλοὶ φυλάττουσιν· ἀπὸ οὖν κς′ τῆς Σελήνης ἕως τρεῖς ἥμισυ γίνονται ἡμέραι ζ′ ἥμισυ. αὗται καλοῦνται μαλῖναι· ἐν ταύταις ταῖς ἡμέραις οὐδὲν δεῖ πράττειν· ἀπὸ δὲ γ′ ἥμισυ τῆς Σελήνης ἕως ια′ καλοῦνται ληδοῦναι· ἐν ταύταις πάντα δεῖ πράττειν. ἀπὸ δὲ ιβ′ ἕως ιη′ ἥμισυ πάλιν μαλῖναι· ἀπὸ δὲ ιθ′ ἕως κς′ ληδοῦναι· αἱ δὲ λοιπαὶ μαλῖναι ἕως τρεῖς ἥμισυ τῆς Σελήνης· δεῖ δὲ ἐν ταῖς ληδούναις πάντα ποιεῖν Σελήνης οὔσης ὑπὸ γῆν καὶ μὴ ὑπὲρ γῆν.

[F. 171 in margine.]

Λέγει ο Θέων ὅτι ὅσας τις ταξειδεύσει διὰ θαλάσσης τῆς Σελήνης οὔσης ἐν τῇ ζ′ τῶν Ἰχθύων μοίρᾳ ἐν τῷ ὑψώματι δηλονότι τῆς Ἀφροδίτης, ἔσται ἀφιερωμένος ὅτι εὐοδωθῆναι μέλλει. εἰ δὲ καὶ ἐν τῇ τρίτῃ μοίρᾳ τοῦ Καρκίνου, τῷ ταπεινώματι τῆς Σελήνης, φονευθήσεται ἢ ἀπολέσει τὸν βίον αὐτοῦ. εἰ δὲ καὶ κινήσεις πρὸς πόλεμον τῆς Σελήνης οὔσης μετὰ τοῦ Ἄρεως, ἢ φονευθήσεται ἢ χεὶρ αὐτοῦ κοπήσεται.

Περὶ δὲ ἀποδημίας ὁ Ἀπομάσαρ λέγει ὡς εἰ βούλει ἀποδημῆσαι διὰ πλοῦ, ποίησον τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐν ὑδατώδεσι ζῳδίοις· εἰ δὲ διὰ ξηρᾶς, ἐν ζῳδίοις γεώδεσιν.

Περὶ ἀποδημίας λέγει ὁ σοφὸς [ὁ] Ῥάπτης ὅτι πλέον κακόν ἐστι τὸ κακοπαθῆσαι τὴν Σελήνην ἐν τῷ τῆς ἀποδημίας καιρῷ ἢ τὸ κακοῦσθαι τὸν ὡροσκόπον, ἐπεὶ ἡ Σελήνη δύο λόγους ἔχει ἐν τῇ ἀποδημίᾳ, ἕνα μὲν ὅτι ἐστὶ σημειωτικὴ τῆς ἀποδημίας φύσει καὶ ἄλλο ὅτι ἐστὶ σημειωτικὴ καταρχῆς· ὁ δὲ ὡροσκοπήσας ἐστὶ σημειωτικὸς ὑποθέσεως τῆς μελλούσης δηλο<νότι> καταρχθῆναι.

[F. 177.] ιη′. Περὶ ἱπποδρομίου.

Ὁ Κρόνος καὶ ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἀνήκουσιν τῷ κυανῷ μέρει ἤγουν τῷ βενέτῳ· ὁ Ἥλιος, ὁ Ἄρης καὶ ἡ Σελήνη τῷ χλοάζοντι, τῷ πρασίνῳ, ὁ δὲ Ζεὺς ἐπίκοινος ἀμφοτέροις. τούτων τῶν ἀστέρων ὁ ἐπίκεντρος, ὁ ἐπαναφερόμενος, ὁ ὁρώμενος ὑπὸ ἀγαθοποιῶν ἐν ἰδίῳ

2 ληδούνους = ledonas; μαλίνας = malinas. Cf. Mondry Beaudouin, *Rev. crit.* 60, 1905, p. 253-255. [Malina est aestus maritimus maximus, ledona aestus minimus (*marée de syzygie et marée de quadrature*). Quos cum in Oceano tantum, non in Mari Interno observari potuerint, verba haec, quibus Galli teste Palcho utuntur, sine dubio revera celtica sunt, non latina]. 10 Brevia haec tria capitula cum humiditate ita laesa tum a bibliopega nimium resecante adeo deleta sunt, ut desperem omnia verba extricari posso. 11 ταξειδεύσει (iter facere. V. Indicem) incertum. 13 ὅτι .... μέλλουσι non intelligo. εὐοδοθῆναι vel δύο δοθῆναι incertum. 18 πλοῦ] πλο cod. 20 ὁ uncinis seclusi. 21 κακοπαθῆσαι an κακοπαθεῖν, incertum. 25 δηλ|ο ... cod., suppl., Boll. 27 Ἑρμής cod.

οἴκῳ ἢ ὑψώματι ἢ ὁρίῳ, ἢ διάμετρος ἢ τρίγωνος ὢν τοῦ Διὸς τῇ ὥρᾳ τοῦ ἀγῶνος νίκην παρέχει, ᾧ ἀναλογεῖ μέρει ὁ ὡροσκόπος. καὶ ὁ ἀστήρ, οὗ ἡ Σελήνη ἀπορρεῖ, δηλοῖ τὸν ἐρωτῶντα περὶ ἀγῶνος. τὸ δὲ δῦνον καὶ ὁ ἀστήρ, ᾧ ἂν ἡ Σελήνη συνάπτει, τὸν ἀντίδικον. ἡ προγεγονυῖα σύνοδος ἀνήκει τοῖς βενέτοις, ἡ δὲ πανσέληνος τοῖς πρασίνοις.

ιθ′. Περὶ τοῦ πότε δεῖ λαμβάνειν γυναῖκα.

Δεῖ σε πρωτοτύπως φροντίσαι τὸ ὡροσκοποῦν ζῴδιον εἶναι στερεὸν ἢ δίσωμον· ὁ δὲ κύριος αὐτοῦ ἀγαθοποιούμενος ἔξωθεν πάσης κακώσεως· ἵνα δὲ τετραγωνίζῃ καὶ ἡ Ἀφροδίτη τὸν Δία καὶ ἵνα ὁρῶσι τὸν ὡροσκόπον· ἵνα δὲ αὐξιφωτῇ καὶ ἡ Σελήνη οὔσης αὐτῆς ἀγαθοπεποιημένης ἐν τόπῳ καλῷ. εἰ δ' ἴσως ταῦτα πάντα οὐχ εὑρήσεις ὡς εἴρηται, ἰδὲ τὴν Σελήνην καὶ ποίησον, ἵνα ἀγαθοποιῆται καί ἐστιν ἐν τόπῳ καλῷ.

[F. 177 in margine.] Λέγει σοφώτατος Θέων.

Ἐάν τις κατ' ἀρχὴν βουληθῇ συνουσιάσαι τῇ γυναικὶ αὐτοῦ τῆς Σελήνης οὔσης ἐν ιε′ μοίρᾳ τοῦ Αἰγοκέρωτος ἐν τῷ ταπεινώματι δηλονότι τοῦ Διός, οὐ μὴ δυνηθῇ συγγενέσθαι αὐτῇ.

[F. 189.] Αἱ φωτιστικαὶ τῆς Σελήνης ἡμέραι· α′ β′ γ′ ζ′ θ′ ι′ ια′ ιγ′ ιδ′ ις′ ιζ′ ιθ′ κ′ κβ′ κγ′ κς′ κη′. αἱ ἀφώτιστοι τῆς Σελήνης ἡμέραι· δ′ ε′ ς′ η′ ιβ′ ιε′ ιη′ κα′ κδ′ κε′ κζ′ κθ′ λ′.]

[F. 206.] Περὶ τῶν ζῳδίων τῶν ἀνακειμένων ἑνὶ ἑκάστῳ τῶν μορίων [1].

Ὁ Κριὸς κυριεύει τῆς κεφαλῆς καὶ τοῦ προσώπου καὶ τῆς κόρης τοῦ ὀφθαλμοῦ καὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶ παθῶν καὶ τῶν ἐντέρων.

Τῷ δὲ Ταύρῳ ἀνάκειται ὁ τράχηλος καὶ οἱ ἐν αὐτῷ σπόνδυλοι καὶ τὰ ἐν αὐτῷ πάθη καὶ αἱ χοιράδες καὶ τὰ ἀποστήματα καὶ αἱ ἐν ταῖς ῥισὶ δυσωδίαι καὶ ἡ κυρτότης.

4 ᾧ ἂν] ὧν cod., corr. Cumont. 19 Cf. capitulum simillimum, quod edidit F. Boll, *Catal.*, VII, p. 101, 3. 20 ἀφώτισται cod. Editur ex Vaticano et Angel. 29 (C. 4. 8), f. 78. cap. κε′ (contulit Iohannes Mewaldt). 22 τῶν post περί om. A 23 τῶν om. A. 25 ἐν τῷ ὀφθαλμῷ A. 27-29 Ὁ Ταῦρος κυριεύει τοῦ τραχήλου καὶ τοῦ ἐν αὐτῷ σπονδήλου καὶ τὰς χοιράδας καὶ τὰ ἀποστήματα καὶ τὰς ἐν ταῖς ῥισὶ δυσωδίας καὶ τὴν κυρτότητα V.

[1] Cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 319 s.

Τοῖς δὲ Διδύμοις ἀνάκεινται αἱ χεῖρες καὶ οἱ βραχιόνες καὶ οἱ ὦμοι.

Τῷ δὲ Καρκίνῳ τὸ στῆθος καὶ οἱ μαστοὶ καὶ ἡ καρδία καὶ ὁ στόμαχος καὶ τὰ πλευρὰ καὶ οἱ νεῦροι.

< . . . . >.

Τῇ δὲ Παρθένῳ ἀνάκειται ἡ κοιλία καὶ τὰ ἔντερα καὶ ὁ ὑπεζωκὼς ὑμὴν καὶ τὸ διάφραγμα.

Τῷ δὲ Ζυγῷ ἀνάκειται τὰ κάτωθεν μέρη τῆς κοιλίας καὶ τοῦ ὀμφαλοῦ καὶ τὰ ἰσχία.

Τῷ δὲ Σκορπίῳ ἀνάκεινται τὰ σπερματικὰ μόρια καὶ οἱ ὄρχεις καὶ ἡ κύστις καὶ τὰ γυναικεῖα αἰδοῖα καὶ τὰ ἀνδρεῖα.

Τῷ δὲ Τοξότῃ οἱ μηροὶ καὶ τὰ σκέλη.

Τῷ δὲ Αἰγοκέρωτι τὰ γόνατα καὶ τὰ ἐν τούτοις νεῦρα.

Τῷ δὲ Ὑδροχόῳ τὰ κάτωθεν μέρη τῶν ποδῶν καὶ τὰ νεῦρα αὐτῶν.

Τοῖς δὲ Ἰχθύσιν οἱ πόδες καὶ τὰ νεῦρα αὐτῶν καὶ τὰ πάθη αὐτῶν, οἷον τὰ ποδαγρικά.

[F. 206v.] Περὶ νεφελοειδῶν[1].

Εἰσὶν αἱ νεφελοειδεῖς συστροφαὶ ἐν μὲν τῷ Ταύρῳ ἀπὸ τῆς ιγʹ μοίρας μέχρι τῆς ιεʹ, ἐν δὲ τῷ Καρκίνῳ ἡ καʹ αὐτοῦ, ἐν δὲ τῷ Σκορπίῳ ἥ τε κʹ μοῖρα αὐτοῦ καὶ ἡ καʹ, ἐν δὲ τῷ Τοξότῃ ἡ κʹ μοῖρα αὐτοῦ, ἐν δὲ τῷ Αἰγοκέρωτι ἡ κβʹ μοῖρα, ἐν δὲ τῷ Ὑδροχόῳ ἡ κʹ μοῖρα ἄχρι τῶν κδʹ.

[F. 210v.] Περὶ τοῦ γνῶναι τοὺς ἀστέρας τοὺς ἀπλανεῖς ποῖοι ἐξ αὐτῶν εἰσι φθοροποιοὶ καὶ ποιοῦντες κλιμακτῆρας[2].

Εἰσὶν οὗτοι· ἡ καρδία τοῦ Λέοντος, ἡ καρδία τοῦ Σκορπίου, ὃς ὀνομάζεται Ἀντάρης, ἡ καρδία τοῦ Ταύρου, ὃς ὀνομάζεται λαμπρὸς τῶν

1-2 Οἱ Δ. κυριεύουσι χειρῶν, βραχιόνων καὶ ὤμων V. 3-4 Ὁ Καρκίνος στήθους καὶ μαστῶν καὶ καρδίας καὶ στομάχου καὶ πλευρῶν καὶ νέφρων V. 5 Quae Leoni adiaceant partes om. codices. 6-7 Ἡ Π. κοιλίας καὶ ἐντέρων V. 8-9 Ὁ Ζυγὸς τῶν κάτωθεν μερῶν τῆς κοιλίας καὶ τοῦ ὀφαλοῦ (!) καὶ τῶν ἰσχίων V. 10-11 Ὁ Σκ. τῶν σπ. μορίων, τῆς κύστεως καὶ τῶν αἰδοίων V. 12 Ὁ Τ. μηρῶν καὶ σκελῶν V. 13 Ὁ Αἰ. γονάτων καὶ τῶν ἐν αὐτοῖς νεύρων V. 14-15 Ὁ Ὑ. τῶν κ. μερῶν τ. π. καὶ τῶν νεύρων αὐτῶν V. 16-17 Οἱ Ἰ. τῶν ποδῶν καὶ τῶν νεύρων αὐτῶν καὶ τῶν παθῶν αὐτῶν οἷον τῶν ποδαγρικῶν V. 27 Ἀντάρης. Cf. supra. De nominibus stellarum cf. Boll, *Sphaera*.

---

[1] Cf. *Catal.* V, part. 1, p. 208, 17 ss.

[2] Cf. Antiochum, *Catal.* VII, p. 111; Apomasarem, *Catal.*, V, part. 1, p. 169.

Ὑάδων, ἡ καρδία τοῦ Τοξότου, ὃς ὀνομάζεται ὦμος αὐτοῦ καὶ τὰ νεφελώδη συστήματα, καὶ ἡ χαίτη τοῦ Λέοντος καὶ ὁ ἐπὶ οὐρᾶς τοῦ Ὄρνιθος ἀστὴρ καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ αὐτοῦ γόνατος, ὅς ἐστιν ἐν τῷ Ὑδροχόῳ, μοίρας ιβ′ λεπτῷ ι′, καὶ ὁ ἀστὴρ ὁ ἐπὶ τοῦ στήθους τοῦ Καρκίνου καὶ ἡ Φάτνη, ἥτίς ἐστιν ἐν τῷ Καρκίνῳ μοίρας ι′ λεπτῷ κ′, καὶ ὁ ἑπόμενος ἀστὴρ τῷ Σκορπίῳ, ὃς σχεδὸν ἀφανής ἐστιν, ὑπάρχει δὲ ἐν τῷ Τοξότῃ μοίρᾳ α′ λεπτῷ ι′.

Οὗτοι οἱ ἀστέρες εἰσὶ κάκιστοι καὶ βλαπτικοὶ καί, ὅτε κωλύσει ὁ περίπατος τοῦ ἀφέτου αὐτοῖς τοῖς ἄστροις ἢ ἡ Σελήνη, ποιοῦσι κλιμακτῆρας μεγάλους.

[F. 211.] Περὶ μεγέθων τῶν ἀστέρων.

Τὸ μέγεθος τοῦ Ἡλίου ἔχει μοίρας ιε′ ἔμπροσθέν τε καὶ ὄπισθεν, τὸ δὲ τῆς Σελήνης ὁμοίως, ιβ′ ὁ Κρόνος καὶ ὁ Ζεὺς ἀνὰ μοίρας θ′, ὁ Ἄρης μοίρας η′, ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ἀνὰ μοίρας ζ′, ὁ δὲ Καταβιβάζων καὶ ὁ Ἀναβιβάζων ἀνὰ μοίρας γ′. βλάπτουσι δὲ οὗτοι τὴν Σελήνην ἀπὸ διαστάσεως μοιρῶν ιβ′ ἔμπροσθέν τε καὶ ὄπισθεν.

Περὶ τῆς τῶν δύο φωστήρων ἐν τῇ ἐκλείψει κακώσεως.

Γίνωσκε ταῦτα, ὅτι ὁ Ἥλιος πρὸ ἑπτὰ ἡμερῶν τῆς ἐκλείψεως αὐτοῦ κεκακωμένος ἐστίν, ὡσαύτως καὶ μετὰ ἑπτὰ ἡμέρας τῆς ἐκλείψεως. ἡ δὲ Σελήνη πρὸ τριῶν ἡμερῶν τῆς ἐκλείψεως αὐτῆς καὶ μετὰ τρεῖς ἡμέρας κεκακωμένη ἐστίν.

Περὶ τῆς κακώσεως τῆς Σελήνης.

Ἡ Σελήνη κακοῦται, ὅτε ἐστὶν ἐν τῷ ἰδίῳ δωδεκατημορίῳ καὶ ὅτε ἐστὶν ὕπαυγος. μεγάλως κακοῦται, καὶ ὅτε τύχῃ ἐν τῷ δωδεκατημορίῳ τοῦ Κρόνου ἢ τοῦ Ἄρεως καὶ ὅτε συνοδεύει κακοποιῷ ἢ ἐφορᾷ αὐτὸν διὰ τετραγώνου καὶ διαμέτρου σχήματος καὶ ὅτε ἀπὸ βορρᾶ κάτεισιν ἐπὶ νότον καὶ ὅτε συνοδεύει τῷ Καταβιβάζοντι καὶ Ἀναβιβάζοντι καὶ ὅτε ὀλιγοδρομεῖ καὶ ὅτε ἐστὶν ἐν ὁρίοις κακοποιοῦ καὶ ὅτε τύχῃ ἐν τῷ ἐνάτῳ τόπῳ. ὅτε δὲ ἐκλείπει, μεγάλως βλάπτεται.

15 τήν corr. ex αὐτήν. 17 Cf. quae Plut. Nic. c. 23 ex Philochoro ut videtur de Autoclidis exegetae praeceptis tradit: τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας (μετὰ τὴν ἔκλειψιν) ἐποιοῦντο φυλακὴν ὡς Αὐτοκλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς [F. Boll]. 20 ἑπτά ante τριῶν delevit librarius. 26 βορρᾶν cod. κάτισιν cod.

[F. 225v.] Περὶ κλιμάτων τῶν ἀνακειμένων ἑνὶ ἑκάστῳ ζῳδίῳ[1].

Τῷ Κριῷ ἀνάκειται ἡ Βαβυλὼν καὶ ἡ Περσὶς καὶ ἡ Μηδία καὶ ἡ Παλαιστίνη καὶ αἱ πεδιάδες καὶ ἡ νομὴ τῶν ζῴων καὶ τὰ μεταλλικὰ καὶ αἱ σκηνώσεις τῶν ληστῶν.

Τῷ δὲ Ταύρῳ ἀνάκειται τὸ Χαμαδᾶν καὶ οἱ Τοῦρκοι οἱ κατοικοῦντες ἐν τοῖς ὄρεσι καὶ αἱ ἄνυδροι πεδιάδες καὶ αἱ παρακείμεναι χῶραι τοῖς ὄρεσι καὶ αἱ παρακείμεναι τοῖς ἐλάφοις.

Τοῖς δὲ Διδύμοις ἀνάκειται τὸ Χοροσᾶν καὶ ἡ μεγάλη Ἀρμενία καὶ τὸ Χιλουὰν καὶ τὸ Πουρζὰν καὶ τὸ Μουκὰν καὶ ἡ Αἴγυπτος καὶ τὸ Βάρκα καὶ τὸ Σπαχὰν καὶ τὸ Οὐμὰν καὶ τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ τὰ ἁλιευτήρια καὶ οἱ τόποι, ἐν οἷς παίζουσι τὸ ταυλίον καὶ οἱ θεμέλιοι τόποι.

Τῷ δὲ Καρκίνῳ ἀνάκειται ἡ μικρὰ Ἀρμενία καὶ τὰ ἐπέκεινα τοῦ Μουκᾶ καὶ τὰ μέρη τῆς Ἀφρικῆς καὶ τὰ ἀνατολικώτερα μέρη τοῦ Χωροσᾶν καὶ ἡ χώρα των Σινὼν καὶ τὸ Μαλδοὺτ καὶ τὸ Πάλχ καὶ ἡ Μηδία καὶ αἱ λίμναι και τὰ βάλτα καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης καὶ τῶν ποταμῶν.

Τῷ δὲ Λέοντι ἀνάκειται ἡ Τουρκία καὶ ἡ ἐπέκεινα αὐτῆς οἰκουμένη καὶ τὸ Γοὺς καὶ τὰ ῥυάκια καὶ τὰ μολυβδικὰ μέταλλα καὶ τὰ παλάτια καὶ τὰ φρούρια καὶ αἱ περιτετειχισμέναι πόλεις.

Τῷ δὲ Παρθένῳ ἀνάκειται ἡ μικρὰ Ἀσία καὶ ὁ Εὐφράτης ποταμὸς καὶ ἡ χώρα ἡ λεγομένη Νῆσος καὶ τὸ Κερδὰν καὶ τὰ χωράφια καὶ αἱ γυναικονίτιδες οἰκίαι καὶ αἱ μεταβολαί.

Τῷ δὲ Ζυγῷ ἀνάκειται ἡ Ῥωμανια καὶ τὰ σύνορα αὐτῆς ἄχρι τῆς Ἀφρικῆς καὶ τὰ ἀνωτέρω μέρη τῆς Αἰγύπτου ἄχρι τῶν Αἰθιόπων καὶ τὸ Βάρκα καὶ το Κερμὰν καὶ τὸ Σιζιστὰν καὶ τὸ Κάπουλ καὶ τὸ Ταχαρωστὰν καὶ τὸ Πάλχ καὶ Βωχαρὰ καὶ τὰ ὄρη, ἐν οἷς σπείρονται κόκκοι καὶ αἱ χῶραι αἱ ἔχουσαι φοίνικας καὶ αἱ χῶραι, ἐν αἷς ἐστι κυνηγεσία.

Τῷ δὲ Σκορπίῳ ἀνάκειται ἡ εὐδαίμων Ἀραβία καὶ μέχρι τῆς Ἰνδίας καὶ τὸ Τάντζε καὶ ἡ Κώμη καὶ τὸ Ῥὲ καὶ ἡ Σουγδαία καὶ αἱ ἄμπελοι καὶ

Edimus ex cod. Vaticano et Angel. 29 (C. 4. 8), fol. 77v, cap. κβ′ (contulit Iohannes Mewaldt). Signa zodiorum astronomica rubr. habet A. De nominibus propriis conf. I. Marquart, *Eransahr nach der Geographie des Ps. Moses Chorenac'i* (*Abhandl. der Gött. Ges. des Wiss.*, N. F. III, 2), Berol. 1901. Conf. indicem. 3 et 6 πεδιάδαι V. 3 μεταλικά V. 4 σκενώσεις V. 5 δέ om. V. Χαμδάν V. 8 δέ semper om. V. Χωρασάν V. 9 Βάρκ A. 11 θεμέλιοι] θυμελικοί A. 13 Μουκᾶ] Μοῦκ A. 14 Χοροσάν A. 15 βάλτη A. θαλάττης A. 17-18 ἐπέκεινα αὐτῆς οἰκουμένη καί add. A. 18 τὰ μ. μέταλλα omiserat V, superscr. man. ead. 20 Ἐφράτης A. 25 Βάρκ ex Βαράκ corr. A. Κερμάν] Κυρμᾶν A. Κάπουλ] Κάπελε V. 25-26 Ταχαρωστάν] Χαραστάν A. 26 Χαρά V] Χαρᾶ sic A, corr. Cumont. 27 ἐστι] γίνεται A. 29 Ῥαί V. ἄμπελαι V.

[1] Similia invenies *Catal.*, IV (ital.), p. 126 (ex Apomasare), *Catal.*, V, 2, p. 137 ss.

αἱ συκάμινοι καὶ τὰ λοιπὰ φυτὰ τὰ ἐν τῷ κήπῳ καὶ οἱ ῥυπαροὶ τόποι καὶ οἱ σκοτεινοὶ καὶ αἱ φυλακαὶ καὶ τὰ καταλύματα καὶ οἱ φωλεοὶ τῶν ἑρπετῶν.

Τῷ δὲ Τοξότῃ ἀνάκεινται τὰ ὄρη, τὸ Ῥὲ καὶ τὸ Σταχὰν καὶ οἱ ποτάμιοι τόποι καὶ οἱ ναοὶ καὶ οἱ σταῦλοι καὶ οἱ τόποι τῶν ταύρων καὶ τῶν βοῶν.

Τῷ δὲ Αἰγοκέρωτι ἀνάκειται ἡ Αἰθιοπία καὶ τὸ Μέκκε καὶ ἡ Σίνδα καὶ τὰ μέσα τῆς ἐρυθρᾶς θαλάσσης καὶ ὁ λεγόμενος τόπος δύο θάλασσαι, ἔνθα ἐξέρχονται οἱ μαργαρῖται καὶ μέχρι τῆς τῶν Σινῶν χώρας καὶ τὸ Ἀχουὰζ καὶ τὰ ἀνατολικώτερα μέρη τῆς Ῥωμανίας καὶ αἱ παλαιαὶ κινστέρναι.

Τῷ δὲ Ὑδροχόῳ ἀνάκεινται τὸ Κοῦφε καὶ τὸ Χετζὲζ καὶ ἡ τῶν Αἰγυπτίων χώρα καὶ ἡ τῶν Σίνδων χώρα καὶ οἱ τόποι, ἐν οἷς γίνονται τὰ ὑδατώδη ὄρνεα καὶ αἱ ἄμπελοι καὶ τὰ καπηλεῖα.

Τοῖς δὲ Ἰχθύσιν ἀνάκεινται τὸ Ταπαραστὰν καὶ ἡ Ἰβηρία καὶ ἡ λεγομένη Νῆσος καὶ ἡ Ἀλεξάνδρεια καὶ τὰ κύκλῳ μέρη τῆς Αἰγύπτου καὶ ἡ ἐρυθρὰ θάλασσα καὶ τὰ μέρη, ἐν οἷς σαγινεύονται οἱ ἰχθύες.

[F. 231v.] Περὶ ἀριθμῶν τῶν ἀστέρων.

Ἔχουσι δὲ οἱ ἀστέρες ῥητούς τινας ἀριθμούς· οἱ μὲν λέγονται φαρτάροι, περὶ ὧν ἐνταῦθα ἁπλοϊκῶς διέξειμεν. τὰς δὲ αἰτίας τούτων ἐν ἑτέρῳ ἐδηλώσαμεν βιβλίῳ.

Ἐστὶν οὖν ὁ μὲν ἀριθμὸς τοῦ φαρτάρου τοῦ Ἡλίου ἔτη δέκα, τῆς Ἀφροδίτης η', τοῦ Ἑρμοῦ ιγ', τῆς Σελήνης θ', τοῦ Κρόνου ια', τοῦ Διὸς ιβ', τοῦ Ἄρεως ζ', τοῦ Ἀναβιβάζοντος γ' καὶ τοῦ Καταβιβάζοντος β', ὁμοῦ ἔτη οε'.

Ὁ δὲ ἀριθμὸς τῶν ἐτῶν αὐτῶν τετραχῶς λαμβάνεται· ἔχουσι γὰρ ἔτη ὑπερμεγέθη, ἔτη μέγιστα, ἔτη μέσα καὶ ἔτη ἐλάχιστα

Ἥλιος ὑπερμεγέθη ,αυξα', μέγιστα ρκ', μέσα λθρ', ἐλάχιστα ιθ',
Ἀφροδίτη ὑπερμεγέθη ,αρνα', μέγιστα πβ', μέσα με', ἐλάχιστα κ',
Ἑρμῆς ὑπερμεγέθη υπ', μέγιστα ος', μέσα μη', ἐλάχιστα κ',
Σελήνη ὑπερμεγέθη ,αρνβ', μέγιστα ρη', μέσα λθρ', ἐλάχιστα κε',
Κρόνος ὑπερμεγέθη σνς', μέγιστα νζ', μέσα μγ', ἐλάχιστα λ',
Ζεὺς ὑπερμεγέθη υκζ', μέγιστα οθ', μέσα με', ἐλάχιστα ιβ',
Ἄρης ὑπερμεγέθη σπδ', μέγιστα ξϛ', μέσα μα', ἐλάχιστα ιε'.

1 συκάμιναι V. 1-2 τόποι καὶ αἱ φυλακαὶ καὶ οἱ σκοτεινοὶ τόποι A. 2 αἱ φωλεαί A. 3 τῶν ἑρπετῶν om. V. 4 καί post Ῥέ om. A. 5 καὶ οἱ σταῦλοι post ταύρων pon. A. 7 ἀνάκειται A. Μέκκε] μικράν A. οἱ Σίνδα A. 8 μέσα] μέρη A. 8-9 δύο θάλασσαι] β' θάλασσα A. 9 τῆς post μέχρι om. A. χωρῶν A. 10 παλαιαί] πολλαί A. 13 χώρα post Σίνδων om. A. γίνεται A. 14 ἄμπελαι V. 15 καί post Ταπαραστάν om. A. 16 καί post νῆσος om. A. κύκλωθεν A. 24 ἀναβιβάζοντος] ☋ (signum καταβιβάζοντος) cod.

EXCERPTA EX CODICE 21 (Vatic. 1059)

Ex magno Theodori Meliteniotae[1] opere astronomico medio saeculo XIII confecto, brevia duo hic inseruimus fragmenta. Prooemium et caput primum, quae in I. Bullialdi[2] editione Ptolemaei libri, cui inscribitur περὶ κριτηρίου καὶ ἡγεμονικοῦ, Paris. 1663, p. 214-233 vel in *Patrologia graeca* (t. CXLIX, col. 988 ss.) legere possis, ideo ad fidem solius Vaticani codicis accuratius edita hic repetimus, quia in his Theodorus et de origine scientiae suae disserit et in astrologiam, quam iudiciariam dicimus, acerrime invehitur. Capitulorum totius libri primi titulos addidimus, ut inde operis indoles melius cognoscatur. Ex tertio autem libro, cuius capitulorum seriem item praebuimus, excerptum subiunximus, ut in hoc catalogi nostri tomo, qui multa iam ex Arabicis vel Persicis scriptoribus versa continet, locus quoque inveniatur, ubi Theodorus speciosam scriptorum orientalium cognitionem prodere videtur, quam sane ex Sampsuchari commentariis de temporum rationibus (*Catal.* I, p. 69) mutuatus est, nonnullis nominibus prave de sensu detortis. Hoc excerptum iam magna ex parte Usener, *Ad historiam astron. symbola* (Bonnae, 1876, p. 13 ss.), publici iuris fecerat, cum Gildemeisteri notis eruditis, quas hic ex laterculis Henrici Suter supplere vel corrigere licuit.

[F. 228.] Τοῦ σοφωτάτου καὶ λογιωτάτου μεγάλου σακελλαρίου καὶ διδασκάλου τῶν διδασκάλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ ἀρχιδιακόνου τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου κυρίου Θεοδώρου τοῦ Μελιτηνιώτου ἀστρονομικῆς τριβίβλου ἡ πρώτη ἣ ψηφοφοριῶν εἰσαγωγή.

« Θεὸς ἡγείσθω παντὸς ἔργου τε καὶ λόγου », φησί τις, τῶν πάλαι σοφῶν, κἀγὼ μετ' αὐτοῦ νυνὶ τῆς παρούσης συντάξεως· καὶ συνδιεξαγέτω μοι θεία τὸν λόγον ἄνωθεν ἐπίπνοια χεῖρα προτείνων τε καὶ

R = cod. Vaticanus. V = Editio Bulliadi. M = Editio Mignii. U = Editio Useneri. 1 F. 228 in margine adnotatur de Theodoro: Ὁ ἀνὴρ οὗτος ὁ τὴν παροῦσαν βίβλον συγγεγραφὼς δοκεῖ δὴ κἀμοὶ μηδενὸς ἀποδεῖν τῶν ἐπὶ σοφίᾳ περιβοήτων· κατά γε τὸ μαθηματικὸν εἶδος τῆς φιλοσοφίας ἔτι κἀγὼ δοκῶ δύνασθαι κρίνειν περὶ τὰ τοιαῦτα. εὐπεριμερίμνως οὖν δεῖ χρῆσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις μηδένα λόγον ποιουμένους τῶν ἐπιχειρούντων αὐτὸν διασύρειν· εἰσὶ γάρ τινες ὀλίγοι κομιδῇ τῶν ἐπ' ἐμοῦ γενομένων οἳ διὰ φαυλότητα γνώμης ἀπηρυθριασμένως καὶ τοῦτο ποιεῖν ἐτόλμησαν. 1-5 Θεοδώρου Μελιτηνιώτου καὶ μεγάλου σακελλαρίου τῆς Μεγάλης Ἐκκλησίας Προοίμιον εἰς τὴν ἀστρονομίαν V M. 5 ψηφιφοριῶν R (saepe); corr. U. 6 παλαίων V M. 7-8 συνεξαγαγέτω V, συνεξαγέτω M. 8 τῶν λόγων V M.

[1] Cf. Leonis Allatii de Theodoro Melitenita dissertationem, in A. Maii *Patrum nova Bibliotheca vol. VI p. 191-193.*

[2] Usus est hic vir doctus « Manuscripto libro Bibliothecae Domini Isaaci Vossii » l. c., p. 212; qui codex nunc Lugduni Batav. inter Vossianos asservatur.

ἐπιρρωννὺς ἐν παντὶ τῷ παραστάντι Θεός, Θεός, οὗ θεῖον τῷ ὄντι δῶρον καὶ οἷον οὔθ᾽ ἧκεν οὔθ᾽ ἥξει πρὸς αὐτοῦ τοῖς καθ᾽ ἡμᾶς κατεπέμφθη φιλοσοφία, ἐνέργεια νοῦ μακαρία γε οὖσα καὶ ἀσχολία τὰς περὶ σῶμα πάσας, ὅσον οὐδ᾽ ἔστ᾽ εἰπεῖν λόγῳ, λαμπρῶς ὑπεραίρουσα, τῶν μὲν ἐρχομένων χαμαὶ καθάπαξ ἀπανιστᾶσα, τῶν δρωμένων δ᾽ ὑπεράνω τιθεῖσα καὶ κοινωνοὺς τῶν Ὀλύμπου πραγμάτων τοὺς αὐτῆς τροφίμους ποιοῦσα, τοὺς περὶ γῆν στρεφομένους, ἔτι καὶ τὸ δὴ μέγιστον εἰς μίμησιν ἥκοντας, ὅσον ἐφικτόν, τοῦ Θεοῦ. ἣν ὑμνοῦσι μὲν οἵ τε τρόφιμοι ταύτης καὶ ὅσοιπερ ἀπὸ τῆς συννάου ταύτῃ ποιητικῆς, ὑμνοῦσι δὲ λογοποιοί τε καὶ οἷς τὸ τὴν γλῶτταν ἐξελληνίζειν σπουδή, πλὴν εἰ μή πού τις μανίαν ἀπαρηγόρητον μαίνεται. οὕτω μέγα καὶ θεῖόν τι χρῆμα σοφία καὶ οὕτως ὑπερφυὲς ἐννοῆσαι, ὡς μηδ᾽ ἔχειν εἰπεῖν μήτε τῶν παρ᾽ ἡμῖν ἕτερον παμπληθὲς ὑπερέχειν τῶν ἄλλων. οὔκουν οὐδὲ γέγονεν οὐδ᾽ ἄλλῳ τῳ μηδενὶ τὸ πρόσρημα τόδε ἐπενεγκεῖν οὔτ᾽ ἄλλου μᾶλλον σοφίας ἀνθρώπῳ προσήκειν, οὔκουν οὐδ᾽ ἔστιν ἄλλως, μὴ σοφίας ὑπούσης, τῷ ὄντι καταφανῆναι κάλλιστον καὶ ἄνθρωπον ἀληθῶς λόγῳ τε χρώμενον καὶ τούτῳ τῶν λοιπῶν μετεχόντων τοῦ ζῆν διαφέροντα.

Τῆς τοίνυν σεμνοτάτης φιλοσοφίας τὰ περὶ τὸν οὐρανὸν θεωρήματα τοῦ θεολογικοῦ δίχα πάντων ὑπερανιδρυμένου τὸ κράτιστον καὶ κεφάλαιον. καὶ πάρεστι τὸ τῆς ὑπερνεφοῦς ἀστρονομίας ὑπερβάλλον ὁρᾶν. ᾗ τῶν ἄλλων οὖσα καθάπαξ ἐπίπροσθεν ὕλην μὲν ὑποβέβληται κατὰ τὸν εἰπόντα τὸ μακάριον οὐρανοῦ σῶμα, παρέχει δὲ τήν τε αἰτίαν τῇ λοιπῇ μαθηματικῇ θεωρίᾳ καὶ ὅλως τὴν γένεσιν ἀριθμόν τε ἤδη τὸν σύστοιχον κόσμῳ γεννῶσα καὶ ἁρμονικοὺς λόγους καὶ μουσικήν· τά τε τῶν γραμμῶν οὐσιοῦσα πάθη καί, ὡς ἔπος εἰπεῖν, δημαγωγοὺς οὐρανίους καὶ σοφιστὰς ἐν αἰθέρι τοὺς ἀνθρώπους ποιοῦσα, μηκέτ᾽ ἐπιψαύειν γαίης ποσὶ δοκοῦντας, ὅταν ἄστρων κατὰ νοῦν ἀμφιδρόμους ἰχνεύωσιν ἕλικας.

Εἴπω τὸ μεῖζον καὶ τελεώτερον· « οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα » καὶ ὅτ᾽ ἐγεννήθησαν ἄστρα, φησὶ πρὸς Ἰώβ, ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, τούτων δημιουργός, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησαν. τί τἄλλα; ἀλλ᾽ Ἀβραὰμ ὁ μακάριος, τῶν

1 ἐπιρωννύς V. 2 τοῖς om. M. 7 τούς om. T M. 10 ἐλληνίξειν V M. 11 ἀπαραγόρητον V. 12 ὑπερφυῶς V M. μηδέ V M. 13 μήτε τι V M. οὐκοῦν V M. 14 προσρῆμα V. τόδε] τοῦτ᾽ V M. 14-15 ad οὔτ᾽ ἄλλου adnot. V M in marg. οὐδὲν ἄλλο. 15 οὐκοῦν VM. εἰπεῖν post ἔστιν add. R, sed expunxit librarius. 20 θεολογικοῦ] θεωρητικοῦ R. 22 ᾗ] ἣ V M. 25 κόσμῳ γεννῶσα τὸν σύστοιχον V M. 27-28 κατ᾽ V M, in marg. ποτ᾽. 28 ἐπιψαεύειν sic V. 27-29 Cf. Ptolem., *Anthol. Pal.*, IX, 577 : Ἀλλ᾽ ὅταν ἄστρων | Ἰχνεύω πυκινὰς ἀμφιδρόμους ἕλικας | Οὐκέτ᾽ ἐπιψαύω γαίης ποσίν. 30 τελειότερον M, τελειώτερον V. 30-31 Psalm. XVIII, 2. 31 ὅτε V M. Iob XXXVIII, 7. 33-34 τούτων δημιουργός om. V M. 34 ἀλλ᾽ om. V M.

Ἀσσυρίων ἐκφύς τῇ πολυθέῳ καθάπαξ ἐνισχημένων πλάνῃ, πρῶτος, εἴη δ' εἰπεῖν καὶ μόνος, τὸν τῶν ὅλων ἔγνω ποιητὴν καὶ Θεόν, πολυίστωρ ὢν καὶ πανσύνετος, φησί τις ἀνὴρ ἱερός, ἀποπροσποιούμενος μὲν τὸ τῶν Ἀσσυρίων ἐγχείρημα, τὴν δὲ τῆς ἀληθείας κατάληψιν ἀρκεῖν ἡγούμενος ἑαυτῷ πρὸς πᾶσαν εὐετηρίαν, ἐπεὶ καὶ μόνην οἶδεν εὐδαιμονίαν φιλοσοφία τὴν τῆς ψυχῆς εὐεξίαν, καὶ μέντοι καὶ τὴν ἀληθῆ περὶ θεοῦ κτησάμενος γνῶσιν τοῖς κατ' οὐρανὸν θεάμασι τὸν ἡγεμόνα νοῦν ἀκριβῶς ἐπιστήσας, κράτιστος ὢν τὰ τοιαῦτα καὶ ξύμπασαν ἀστρονομιας ἔχων τὴν ἐπιστήμην.

Ἔχω καὶ τόδε προσθεῖναι καὶ ὄντως ἐπὶ καιρόν· πολιτεύεται μὲν γὰρ τῇ καθ' ἡμᾶς φύσει δι' ἡμᾶς ὁ σωτήρ, μυρίων δ' ὅσων θαυμάτων χρησάμενος ἐπιδείξεσι, τέλος τοῦ τῶν Ἰουδαίων ἐπιθεμένου τούτῳ φθόνου κακῶς, ἑκὼν ἐπὶ τὸν σταυρὸν ἀνάγεται καὶ πάσχει σαρκί. [f. 228v] τότε τοίνυν πρός γε τοῖς ἄλλοις παραδόξως γεγενημένοις καὶ σκότος Ἡλίου καταχεόμενον ἦν, τοῖς ἠκριβωκόσι κάλλιστα τὰ οὐράνια πάντων μάλιστα παρέχον μανθάνειν θεὸν εἶναι τὸν ξύλῳ μετεωρισθέντα τῆς καταδίκης. τὴν γὰρ ἑκάστοτε γινομένην ἐκλειπτικὴν φαντασίαν τοῦ τῆς ἡμέρας ὀφθαλμοῦ λαμπροτάτου ἐκ τῶν περὶ τὴν συνοδικὴν συζυγίαν τῆς Σελήνης ἐπιπροσθήσεων ἔστιν ὁρᾶν τῷ τῆς φύσεως ἀποτελουμένην ὅρῳ καὶ μόνης κεκτημένην χρόνον οὐδέποτε. ἔτι γε μὴν καὶ τὸ πρῶτον ἐκλεῖπον μέρος τοῦτ' αὐτὸ καὶ πρώτως ἀναπληρούμενον, ὥσπερ αὖ τὸ τελευταίως ἐπισκοτούμενον, ἀνακαθαιρόμενον ἔσχατον, ἀλλὰ καὶ ἄλλοτ' ἄλλοις ἀνθρώπων ἐπὶ διαφόρων μερῶν φανταζομένην τῆς γῆς. τὴν δ' ἐν τῷ σωτηρίῳ πάθει γεγενημένην ἔν τε πανσελήνῳ τηνικάδε νομικοῦ θυομένου φάσκα τελεσθῆναι σὺν θαύματι, τῆς Σελήνης οὔσης ἐκ διαμέτρου, κἀκεῖθεν δραμούσης ἀχρόνως πρὸς σύνοδον. καὶ αὖθις αὖ τῆς προτέρας τυχούσης ἐκτόπως στάσεως καὶ τοῖς ὅλοις ἐπὶ τρισὶν ὅλαις ὥραις οὕτω διαμεῖναι μετὰ τὸν τοῦ πρώτου ἐκλείποντος χρόνον, τοῦ μὲν πρώτως ἐμπεπτωκότος μέρους ἀνακαθαρθέντος ὑστάτου, τοῦ δ' αὖ ὕστερον πρώτου· πρὸς δὲ καὶ ζόφου πᾶσαν κατὰ ταὐτὸν πληρῶσαι τὴν ἀφ' Ἡλίου ἀνίσχοντος ἄχρι καὶ δυομένου. ἃ δὴ πάντα μεγάλως ἐκπλήττοντα καὶ τὸ περιὸν δεικνύντα τῆς τοῦ σταυρωθέντος ἰσχύος, μόνος ἂν εἰδείη σαφῶς ὅ γ' εἰς τοὔσχατον ἀστρονομίας ἰών. ἔνθεν τοι καὶ γνοίη μάλ' ἀκριβῶς, εἰ μὴ συντίθοιτο ἐθελοκακεῖν, χρώμενος ὡσπερεὶ παιδοτρίβῃ, τῇ τῶν οὐρανίων ἐπιστημονικῇ θεωρίᾳ τἀληθὲς ἤδη προαγγελ-

1 ἐνισχημένος VM. 4 τὴν ἀληθείας R. 6 φιλοσοφία RVM, φιλοσοφίαν VM in marg. corr. 8-9 ἀστρονομίαν V. 11 μυρίων δέ VM. 15-16 κάλλιστα] ἀκριβῶς VM. 17 τὴν μὲν γάρ VM. γιγνομένην VM. 22 αὖ τό] αὐτό VM. 23 ἔσχατον] ὕστατον VM. ἀνθρώποις M. 24 φανταζόμενον VM. τὴν δὲ VM. σωτηρίῳ] Σωτῆρος VM. 25 ad φάσκα adnot. M Πάσχα. 29-30 τοῦ μὲν πρώτως - ὑστάτου om. VM. 31 ζόφον V. πληρῶσαι om. VM. ἀφ'] ὑφ' VM. 32 ἃ δὴ πάντα om. VM. 35 μάλα VM. ὡσπερεί corr. VM ex ὡς περί.

λούσῃ μὴ ψιλὸν ἄνθρωπον εἶναι, θεάνθρωπον δὲ τὸν ἐπὶ ξύλου κρεμάμενον. εἰ δὴ καὶ τὸ νυκτερινὸν τότε σκότος ἐν μεσημβρίᾳ μὴ συμβὰν ἧπερ δοκεῖ τῇ τέχνῃ φύσεως πάντως ἀκολουθία, θεοῦ δὲ θαυμασίως προστάγματι.

Ὥστε ἔξεστι μὴ ὅπως θεσπέσιόν τι χρῆμα καὶ κάλλιστον ἐν ἀνθρώποις τιμιωτάτην καὶ θειοτάτην τῆς λοιπῆς θεωρίας ἔχουσαν τάξιν τὴν ὑπέρσεμνον ἀστρονομίαν καὶ ἄνω βαίνουσαν προσειπεῖν, ἀλλὰ καὶ τρόπον κήρυκος σεβασμιωτάτου πρὸς ἡμᾶς ἥκειν πρὸς τοῦ θεοῦ πᾶσι διαδεικνῦσαν τοῖς καλῶς ξυνορῶσι τὸ δέον καὶ λαμπρῶς ἀπαγγέλλουσαν ὑπὲρ ἀνθρώπων αὐτὸν γενόμενον ἄνθρωπον, θεὸν αὖθις μένοντα καὶ τῷ τῆς σαρκὸς προσλήμματι πᾶσαν ἐπὶ τοῦ σταυροῦ τὴν φύσιν ἀνανεούμενον. ἀστρονομίαν καὶ γὰρ παλαιὸς λόγος πρὸς θεοῦ δι' ἀγγέλου καὶ ἀληθῶς ἔχων δεδόσθαι τοῖς ἐκ τοῦ Σήθ[1].

Εἶεν δή. τὸ μὲν οὖν τοὺς γινομένους ἑκάστοτε σχηματισμοὺς τῶν κινήσεων Ἡλίου τε καὶ Σελήνης καὶ τῶν λοιπῶν ἀστέρων πρός τε ἀλλήλους καὶ τὴν γῆν θεωρεῖν τό τε δι' ἀστρονομίας προγνωστικόν, τοῦτο δὴ ταῖς ἀληθείαις εἰδέναι τέλος, περὶ ὧν ἡ σπουδὴ τῷ Πτολεμαίῳ ἐν τοῖς τρισὶ πρὸς τοῖς δέκα βιβλίοις τῆς Μεγάλης Συντάξεως καὶ γνῶσιν ἡγεῖσθαι ταῦτα διὰ φιλοσοφίας ἐπιστημονικὴν περί τινων ὑπὸ θεοῦ παρηγμένων φύσεων ὅπῃ τε ἔχει καὶ ὅπως ταῦτα φέρεται, θεϊκοῖς πειθαρχοῦντα πάντως ὅροις τε καὶ προστάγμασι, μέγα δέδεικται πολλαχόθεν καὶ ὡς ἀληθῶς ὑπέρμεγά τε καὶ περισπούδαστον. τό γε μὴν τὰς δραστικὰς τούτων ποιότητας καὶ τὴν φυσικὴν τῶν συσχηματισμῶν αὐτῶν ἰδιοτροπίαν αἰτίαν τῶν περὶ ἡμᾶς συμπτωμάτων τίθεσθαι καταψευδομένους τῶν οὐρανίων κἀκ τῆς τούτων κινήσεως τὰς γενέσεις πλέκειν καὶ τὰ σύμβαίνοντα κἀντεῦθεν δοκεῖν τὴν τῶν μελλόντων ἔχειν εἰδέναι πρόγνωσιν, ὃ δὴ τῆς ἀστρολογικῆς, τῆς δ' αὐτῆς καὶ μαθηματικῆς λαχούσης ἐξαιρέτως κεκλῆσθαι πολυασχόλου ματαιότητός ἐστι τῇ τῶν ἄστρων κινήσει τὰ ἡμέτερα συμφερούσης.

[F. 229] Τοῦτο τοίνυν πρὸς τὸ μηδὲν ὑγιὲς κεκτῆσθαι καὶ ἀληθείας ἐχόμενον καὶ πρὸς πλάνην φέρει καὶ βυθὸν ἀπωλείας τοῖς εὐσεβεῖν ἐθέλουσι πάνυ τοι λυμαινόμενον. ταῦτ' ἄρα καὶ νόμοι θεῖοι καὶ θεσπεσίων καὶ θεοπρεπῶν θεσπίσματα διδασκάλων σύν γε τοῖς τὴν μαγικὴν κακοτεχνίαν καὶ θεοῦ πόρρω βάλλουσαν κακῶς καὶ ἀθέως ἐξησκημένοις

1 τόν (ante ἐπὶ ξύλου) om. M. 5 μὴ ὅπως] μὴν ὄντως ὡς VM. τήν post κάλλιστον add. VM. 6 ἔχουσα V. 8 παρ' ἡμᾶς VM. 9 δεικνῦσαν VM. 11 τοῦ (ante σταυροῦ) om. VM. 12-13 καὶ γὰρ πρὸς Θεοῦ δι' ἀγγέλου παλαιὸς λόγος VM. 14 εἴην V, εἴη M. 17 ταῖς ἀληθείαις corr. ex τὰς ἀληθείας VM. 21 πειθαρκοῦντα V. 22 ὑπερσπούδαστον VM. 26 ξυμβαίνοντα VM. 30 πρός τῷ M. 32 λυμαινόμενοι M. 34 ἐξησκημένην corr. V in marg. in ἐξησκημένοις, ἐξησκημένην M.

[1] Plerumque Seth ipse astrologiae inventor laudatur. Cf. *Catal.* VII, p. 87, 3 et quae Boll ibi congessit. Vide infra p. 140, 1.

καὶ μαθηματικοὺς εἴτ' οὖν ἀστρολόγους ὡς εἰκὸς ἀποτροπιάζονται, ἅτε δὴ πρὸς τὰ ἄνω κεχηνότας γε μάτην καὶ τῇ τούτων κινήσει τὴν ἡμετέραν προσαρτῶντας ζωήν, θεομαχοῦντας ἄντικρυς καὶ βαίνοντας ὄντως ὑπὲρ τὰ ἐσκαμμένα ἐπὶ κακῷ δήπου τῆς σφῶν αὐτῶν κεφαλῆς, ἐν ἴσῳ δ' εἰπεῖν καὶ ψυχῆς.

Ἀλλ' ἐκείνους μὲν οὕτω, πάντως δ' ἀξίως τῆς ἡμετέρας ἐξωθοῦσιν αὐλῆς οἱ καλῶς αὐτῆς προιστάμενοι, ἐγὼ δὲ τούτοις, ὅσα καὶ παῖς πατράσιν ἑπόμενος τοῖς ἱεροῖς τροφεῦσι καὶ παιδευταῖς καὶ παρ' οὐδὲν μὲν ἄγων καὶ διαπτύων δυοῖν τῶν τῆς ἀστροθεάμονος σοφίας εἰδῶν τὸ δεύτερον ὡς ἐπίβουλόν τε καὶ σφαλερόν, καθὸ τὰς ἐμπεριεχομένας μεταβολὰς διὰ τοῦ τῶν ἀστέρων συσχηματισμοῦ ἀποτελουμένας οἱ περὶ ταῦτα κομψοὶ τηνάλλως φασὶν ἐπισκέπτεσθαι καὶ λίαν ἐπικινδύνως. τὸ πρότερον δὲ τῇ τάξει τε καὶ δυνάμει, καὶ φέρεται γὰρ τὰ πρῶτα κατὰ τῶν ἄλλων, πρὸς μεγίστην ὄνησιν φέρον καὶ περὶ τὰς τῶν ἀστέρων μόνον κινήσεις ἔχον ἐν λόγῳ τιθέμενος ἔδοξα πρὸς εὔχρηστον τῆς θεωρίας ὑπομνηματισμὸν ἐμαυτοῦ τε χάριν καὶ τῶν γε προτρεψάντων ἐκ παλαιτάτου συνήθων, ἐν μὲν τῇ πρώτῃ βίβλῳ τοῦ παρόντος συντάγματος, ὡς ἐν κεφαλαίοις, ψηφοφοριῶν εἰσαγωγὴν προεκθέσθαι τε καὶ ὑποτυπώσασθαι. πρός τε τὴν δευτέραν καὶ τὴν τρίτην μάλα συντείνουσαν, ἧς πέρι πλεῖστα συγγράμματα διεξοδικώτερον εἴργασται τῷ φιλοσόφῳ Συριανῷ, Θέωνί τε καὶ Πάππῳ τοῖς μαθηματικοῖς καὶ Ἰωάννῃ γραμματικῷ, τῷ τῆς Ἀλεξάνδρου πολίτῃ. ἔστι δὲ ἃ ταύτης καὶ παρ' ἡμῶν προσεξεύρηται. κατὰ δὲ τὴν δευτέραν τὰς τῆς Μεγάλης Συντάξεως ψηφοφορίας τῶν τε πλανωμένων καὶ ἀπλανῶν μεθοδικώτερον ἐφοδεῦσαι καὶ ὑποδείγμασιν εὐχερεῖς ἐργάσασθαι ἀναγράψαι τε ἅμα καὶ τὰς τῶν προχείρων κανόνων ψηφοφορίας ὡς ἐν ὑποδείγμασι καὶ δεῖξαι τὴν ἀμφοτέρων ἐν ἅπασι συμφωνίαν. εἶτα κατὰ τὴν τρίτην τὰς τῶν Περσικῶν προχείρων κανόνων ψηφοφορίας περιέχουσαν συμπερᾶναι τῆς παρούσης συντάξεως, ᾗπερ ἀστρονομικὴ τρίβιβλος τοὔνομα. τοῖς μὲν ἄλλοις πάντως ἀχρεία καὶ παρορᾶσθαι δικαία, ἀλλὰ τοῖς γε πρὸς τὸν λόγον κεκινηκόσιν ἡμᾶς ἑταίροις χρήσιμος ἡ τῆς τοιαύτης θεωρίας ὑπόμνησις, κἀμοὶ δὲ τῷ γεννησαμένῳ Θεοδώρῳ τῷ Μελιτηνιώτῃ, ἐκφύντι μὲν ἤδη τῆς Κωνσταντίνου καὶ νέας Ῥώμης, τελοῦντι δ' εἰς τὴν ἐν Χριστῷ διακονίαν κἀκ τῆς ἀξίας συγκλήτου τῆς ἱερᾶς μεγάλῳ σακελλαρίῳ καὶ διδασκάλῳ τῶν διδασκάλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ ἀρχιδιακόνῳ· τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου.

6 πάντας VM. δέ VM. 9 ἀστραθεάμονος V. 10 τὰς τῶν ἐμπεριεχομένων μ, VM. 11 διὰ τῶν τῶν ἀ. συσχηματισμῶν VM. 12 τηνάλως V. 17 παλαιοτάτων VM. 18 τέ om. VM. 20 διείργασται U. 26 ἀναγράψασθαι (τε omisso) VM. 27 κατά] καί RVM, corr. U. 31 κεκινηκῶσιν V. 32 ἡ] καί VM. κἀμοὶ δὲ] κἀμοί τε R, καί μοί τε VM, corr. U. 34 κἀκ] καί V in marg. 37 μεγάλης τοῦ Θεοῦ VM. ἀρχιδιακόνου U.

Καὶ δὴ τῆς ἀστρονομικῆς τριβίβλου ταύτης ἡ πρώτη, καλεῖται δὲ ψηφοφοριῶν εἰσαγωγή, περιέχει ταυτί.

Κεφάλαιον πρῶτον. Τί ἐστιν ἀστρονομία καὶ παρὰ τίνων εὑρεθεῖσα τὸ ἐξ ἀρχῆς ἦλθεν εἰς Ἕλληνας ὕστερον, τίς τε ὁ σκοπὸς τῆς Μαθηματικῆς καὶ Μεγάλης Συντάξεως καὶ τί τῶν ἐν αὐτῇ τρισκαίδεκα βιβλίων ἑκάστη διέξεισι.

Κεφάλαιον δεύτερον. Περὶ πολλαπλασιασμῶν μοιρῶν τε καὶ ἑξηκοστῶν εἴτ' οὖν ὅλων καὶ μορίων.

Κεφάλαιον τρίτον. Περὶ μερισμῶν τῶν αὐτῶν καὶ ὅπως οἱ μερισμοὶ γίνονται.

Κεφάλαιον τέταρτον. Πῶς ἔστιν ἑκάστου δεδομένου ἀριθμοῦ ἢ ῥητοῦ ἢ ἀρρήτου τὴν τετραγωνικὴν ἀνευρίσκειν πλευράν.

Κεφάλαιον πέμπτον. Πῶς ἔστιν εὑρεῖν ἑκάστου δεδομένου ἀριθμοῦ τὸ ἐπιζητούμενον μόριον.

Κεφάλαιον ἕκτον. Πῶς αἱ τῶν μορίων [f. 229v] συνθέσεις γίνονται.

Κεφάλαιον ἕβδομον. Περὶ ἀφαιρέσεων τῶν αὐτῶν.

Κεφάλαιον ὄγδοον. Πῶς οἱ τῶν αὐτῶν πολλαπλασιασμοὶ μορίοις τε καὶ ἀριθμοῖς εἴτ' οὖν ὅλοις γίνονται.

Κεφάλαιον ἔνατον. Ὅτι τῶν αὐτῶν ταὐτόν ἐστι πολλαπλασιασμὸς καὶ μερισμός.

Κεφάλαιον δέκατον. Ὅπως χρὴ τὸν τοῖς μαθηματικοῖς ἐξ ἀναλόγου ἀποδεικτικὸν τρόπον καλούμενον ἐφοδεύειν.

Κεφάλαιον ἑνδέκατον. Περὶ τῆς τοῦ ἀστρολάβου ὡροσκοπείου κατασκευῆς.

Κεφάλαιον δωδέκατον. Περὶ χρήσεως αὐτοῦ καὶ πρῶτον περὶ τῆς ἡμερινῆς τοῦ Ἡλίου διοπτείας, ἐν ᾧ καὶ περὶ τῶν δ' κέντρων τοῦ τε ὡροσκοποῦντος καὶ μεσουρανοῦντος καὶ τῶν τούτοις διαμετρούντων.

Κεφάλαιον τρίτον καὶ δέκατον. Πῶς ἔστιν ἐκ τοῦ ὀργάνου τὰς εἰλημμένας καιρικὰς ὥρας ἡμερινὰς εἰς ἰσημερινὰς μεταποιῆσαι· ἔτι τε εὑρεῖν, πόσοις ἰσημερινοῖς χρόνοις ἕκαστον ζῴδιον ἀναφέρεται καὶ πόσοις δύνει.

Κεφάλαιον τέταρτον καὶ δέκατον. Περὶ τῆς νυκτερινῆς τῶν ἀπλανῶν ἀστέρων ἐντέχνου διοπτείας καὶ ὅπως ἂν τὰς ἐντεῦθεν ἀναδοθείσας ὥρας εἰς ἰσημερινὰς μεταποιήσωμεν διὰ τοῦ ὀργάνου.

Κεφάλαιον πέμπτον καὶ δέκατον. Ὅτι λαβεῖν ἔστιν ἐκ τοῦ ὀργάνου τὰς ὥρας εὐθὺς ἰσημερινὰς καὶ διακεκριμένας.

Κεφάλαιον ἕκτον καὶ δέκατον. Ἔτι περὶ τῆς τῶν νυκτερινῶν ὡρῶν ἐποχῆς.

Κεφάλαιον ἕβδομον καὶ δέκατον. Περὶ χρήσεως παλαιγενοῦς

1 καλεῖται δέ] ἤ V M. 2 ψηφιφοριῶν R. περιέχει ταυτί om. M.

ἀστρολάβου καὶ πρῶτον περὶ τῆς διορθώσεως τῆς ἡλιακῆς ἐποχῆς ἐν τῷ τὸν ζῳδιακὸν ἔχοντι διμοιριαῖον ἢ τριμοιριαῖον καὶ ἐφεξῆς.

Κεφάλαιον ὄγδοον καὶ δέκατον. Περὶ τῆς εὑρέσεως τῆς ὡροσκοπούσης μοίρας ἐν τῷ τοιούτῳ ὡροσκοπείῳ.

Κεφάλαιον ἔνατον καὶ δέκατον. Περὶ τῆς εὑρέσεως τῆς μεσουρανούσης ἐν τῷ αὐτῷ ὀργάνῳ.

Κεφάλαιον εἰκοστόν. Τίνι δεῖ τρόπῳ τὰς νυκτερινὰς ἀνευρίσκειν ὥρας ἐν ἀστρολάβῳ τοὺς κατὰ τὴν ἀράχνην ἀστέρας ἔχοντι εἰς τὰ προηγούμενα τῆς κατὰ τὸ παρὸν ἐποχῆς τούτων ἑκάστου.

Κεφάλαιον πρῶτον καὶ εἰκοστόν. Περὶ τῆς λήψεως τῶν ἀπὸ τῆς ἔγγιστα παρελθούσης μοίρας ὡρῶν.

Κεφάλαιον δεύτερον καὶ εἰκοστόν. Πῶς διὰ τῆς τῶν κανόνων ψηφοφορίας ἀπὸ τοῦ Ἡλίου ὑψώματος αἱ ἠνυσμέναι τοῦ Ἡλίου λαμβάνονται ὧραι ἡμεριναί.

Κεφάλαιον τρίτον καὶ εἰκοστόν. Πῶς ἔστιν εὑρεῖν ἑκάστην μοῖραν τοῦ ζῳδιακοῦ, πόσον τοῦ ἰσημερινοῦ παραλλάσσει ἐπὶ βορρᾶν ἢ ἐπὶ νότον ἐκ τοῦ ὀργάνου.

Κεφάλαιον τέταρτον καὶ εἰκοστόν. Ὅπως ἑκάστης τοῦ ζῳδιακοῦ μοίρας τὸ μέγιστον εὑρήσομεν ὕψωμα διὰ τοῦ ὀργάνου.

Κεφάλαιον πέμπτον καὶ εἰκοστόν. Πῶς ἔστι λαβεῖν ἐκ τοῦ ὀργάνου διὰ τῆς ἀκριβοῦς πρὸς τὸν Ἥλιον διοπτείας τὸ τοῦ ἐν ᾧ ὄντες διοπτεύομεν κλίματος πλάτος.

Τί ἐστιν ἀστρονομία καὶ παρὰ τίνων εὑρεθεῖσα τὸ ἐξ ἀρχῆς ἦλθεν εἰς Ἕλληνας ὕστερον. τίς τε ὁ σκοπὸς τῆς Μαθηματικῆς καὶ Μεγάλης Συντάξεως καὶ τί τῶν ἐν αὐτῇ τρισκαίδεκα βιβλίων ἑκάστη διέξεισιν.

Κεφάλαιον πρῶτον. Ἀστρονομία ἐστὶν ἐπιστήμη περὶ τὰ οὐράνια σώματα καταγινομένη τέλος ἔχουσα τὸ γνῶναι τὰς κινήσεις αὐτῶν· ἔτι δὲ ἀστρονομία ἐστὶ γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου. σφαιρικὴ δὲ καὶ ἀστρονομία καλεῖται παρονομασθεῖσα ἔκ τε τῆς πρώτης καὶ τιμιωτέρας σφαιρικῆς θεωρίας τῆς πάντα περιεχούσης οὐρανίου σφαίρας καὶ ἐκ τῶν ἐν αὐτῇ ἀστέρων, θεῖον τῷ ὄντι καὶ κάλλιστον οὖσα μάθημα, ἅτε δὴ καὶ περὶ τὰ θεῖα κατανοουμένη καὶ τὰ οὐράνια καὶ μόνη καθά φησι Πτολεμαῖος ἐν τῷ τοῦ πρώτου πρώτῳ τῆς Μεγάλης Συντάξεως περὶ τὴν τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων ἐπίσκεψιν ἀναστρεφομένη, διὰ τοῦτό τε οὖσα δυνατὴ καὶ αὐτὴ περὶ τὴν οἰκείαν κατάληψιν, οὔτε ἄδηλον οὔτ' ἄτακτον οὖσαν, ἀεὶ καὶ ὡσαύτως ἔχειν, ὅπερ ἐστὶν ἴδιον ἐπιστήμης. εὕρηταί γε μὴν τὸ τοιοῦτον ὑπέρσεμνον ὄντως μάθημα

25-27 καὶ τί τῶν - κεφάλαιον πρῶτον om. VM. 27 ἐπιστήμη] τέχνη VM. 28 ἔτι δ' VM. 30-31 τιμιωτάτης R, superscr. man. 2 -τέρας. 31 τῆς περὶ τῆς π. VM. 36 τε om. VM. 37 οὔτ'] οὔτε MV.

παρὰ τῶν τοῦ Σήθ, ἑνὸς τῶν υἱῶν Ἀδάμ, ἀπογόνων, ὥς ὅ τε παλαιὸς ἐκ πατέρων λόγος ἔχει καὶ ἀληθῶς ἔχει. καὶ μέντοι καὶ Ἰώσηπος φιλαλήθης ἀνὴρ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν ἀρχαιολογίᾳ συγγράφεται. μιμηταὶ γὰρ οὗτοι τοῦ ἑαυτῶν γεγονότες γεννήτορος σοφίαν μὲν τὴν περὶ τὰ οὐράνια καὶ τὴν τούτων διακόσμησιν ἐπενόησαν, πρῶτοι γραμμάτων ἐφευρόντες τύπους καὶ τὰ ση[f. 230]μεῖα τοῦ οὐρανοῦ καὶ τὰς τροπὰς τοῦ ἐνιαυτοῦ καὶ τὰς ἑβδομάδας καὶ τοῖς ἀπλανέσι τῶν ἀστέρων ἐπιθέντες ὀνόματα καὶ τοῖς πλανωμένοις. ὑπὲρ δὲ τοῦ μὴ διαφυγεῖν τοὺς ἀνθρώπους τὰ εὑρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν φθαρῆναι, προειρηκότος Ἀδὰμ ἀφανισμὸν ἔσεσθαι τῶν ὅλων, τὸν μὲν κατ' ἰσχὺν πυρός, τὸν ἕτερον δὲ κατὰ βίαν καὶ πλῆθος ὕδατος, στήλας ποιησάμενοι δύο, τὴν μὲν ἐκ πλίνθου, τὴν ἑτέραν δὲ ἐκ λίθου, ἀμφοτέραις τὰ εὑρημένα ἐνέγραψαν, ἵνα τῆς πλινθίνης ὑπὸ τῆς ἐπομβρίας ἀφανισθείσης ἡ λιθίνη μείνασα ἅπαντα δοίη τοῖς ἀνθρώποις μαθεῖν τὰ ἐγγεγραμμένα δηλοῦσα καὶ πλινθίνην ὑπ' αὐτῶν ἀνατεθῆναι. ἣν δὴ καὶ μένειν κατὰ τὴν Συριάδα γῆν ἄχρις ἐκείνου φησί, λέγω δὴ τὴν λιθίνην. τῆς δὲ γῆς ἐπομβρίᾳ κατακλυσθείσης καὶ μόνου Νῶε περισωθέντος, ἀρχηγοῦ τε καταστάντος δευτέρου κόσμου καὶ δὴ τῶν ἀπ' ἐκείνου διὰ τὴν ἣν ἐπενόησαν τόλμαν οἰκοδομοῦντες τὸν πύργον συγχυθέντων τὴν γλῶτταν, ἅτε δὴ κακῶς καὶ ἀθέως ὁμοφωνούντων, μόνος Ἀρφαξὰδ τὴν οἰκείαν διατηρήσας Χαλδαίων πρόγονος ἐχρημάτισεν. οἱ δὲ φύσεως ἀγαθῆς γεγονότες καὶ τἀπὶ τῆς λιθίνης στήλης εὑρηκότες ἐγγεγραμμένα τὴν τῶν οὐρανίων συνεγράψαντο ἐπιστήμην, τοσοῦτον θαυμασθέντες παρὰ πᾶσιν ἐπὶ σοφίᾳ, ὥστε καὶ τοὺς αὐτῶν φιλοσόφους περὶ ἀστρονομίαν τὸ πλέον ἔχοντας καὶ γενεθλιαλογεῖν ἤδη προσποιουμένους Χαλδαίους προσαγορεύεσθαι Στράβων γεωγραφῶν φησι, τῷ κοινῷ τοῦ γένους ὀνόματι κατ' ἐξοχὴν ὀνομαζομένους, οἰκοῦντας μὲν τῆς Βαβυλωνίας χώραν αὐτοῖς εἰς κατοικίαν ἀφωρισμένην, πλησιάζουσαν τοῖς τε Ἄραψι καὶ τῇ κατὰ Πέρσας λεγομένῃ θαλάσσῃ. εἰς πλείω δὲ γένη διῃρημένους καὶ τοὺς μὲν Ὀρχηνούς, τοὺς δὲ καλουμένους Βορσιππηνοὺς καὶ ἄλλους ἄλλως ὡσὰν κατὰ αἱρέσεις ἄλλα καὶ ἄλλα περὶ τῶν αὐτῶν ἔχοντας δόγματα. ἐν οἷς ἄλλοι τε πλεῖστοι γεγόνασιν ἀξιόλογοι ἄνδρες καὶ μάλιστα Ζωροάστρης καὶ μετ' ἐκεῖνον Ὀ<σ>τάνης, ὅ τε Κιδηνᾶς καὶ ὁ Ναβουριανὸς καὶ

1 De Seth astrologiae inventore cf. *Catal.* VII, p. 87. 2 πάτρων V, Πατρῶν M. Ex Iosepho, *Arch.*, I, 1, 3, § 68-70. 9 μὴ δέ V. 11 τὸν δὲ ἕτερον VM. 12 τὴν δ' ἑτέραν M, δέ om. V. 13 προσέγραψαν VM. 14 δοίη μαθεῖν τ. ἀ. VM. 16 Συρίδα VM. 17 Νοέ V. 19 τολμάν V. οἰκοδομούντων VM. 21 Χαλδαίω πρόγονος V, in marg coni. V Χαλδαίων πρόγονος ἐγένετο. ἐχρημάτισεν om. VM. 22 τὰ ἐπί VM. τῆς om. VM. εὑρόντες VM. 26 Ex Strabone XVI, 6, p. 739 C. 29 Ἄρραψι R. 31 Βορσοππινούς R, Βορσιππινούς V, Βορσιππίνους M. 31-32 καθ' αἱρ. VM. 33 Ζωροαστρής V. Zoroastris et Hostanis nomina in Strab. desunt. 34 Ὀτάνης RVM. ὁ (ante Ναβ.) om. VM.

σὺν αὐτοῖς ὁ Σουδῖνος. ἀλλὰ καὶ Σέλευκος ἀπὸ Σελευκίας Χαλδαῖος καὶ οὗτός ἐστιν. ἐκ τούτων τὸ παλαιὸν ὁ μέγας γενόμενος Ἀβραὰμ καὶ πρῶτος θεὸν τῶν ὅλων δημιουργὸν ἐγνωκὼς τοῖς τε τῆς γῆς καὶ θαλάσσης παθήμασι καὶ τοῖς περὶ τὸν Ἥλιον καὶ Σελήνην καὶ πᾶσι τοῖς κατ᾿ οὐρανὸν συμβαίνουσι συλλογισάμενος· καὶ τούτῳ δὴ προσδραμὼν ἑτοίμως καλοῦντι καὶ εἰς Αἴγυπτον ἀκολουθήσας κατάγοντι κἀκεῖ τοῖς λογιωτάτοις Αἰγυπτίων διαφόροις ἔθεσιν ἀρεσκομένοις καὶ τὰ παρ᾿ ἀλλήλοις ἐκφαυλίζουσι νόμιμα καὶ διὰ τοῦτο δυσμενῶς πρὸς ἀλλήλους ἔχουσι συντυχὼν ἑκάστοις αὐτῶν διαπτύει μέν, οὓς ἐποιοῦντο λόγους περὶ τῶν ἰδίων κενοὺς καὶ μηδὲν ἔχοντας ἀληθὲς ἀποφαίνων. θαυμασθεὶς δὲ παρ᾿ αὐτῶν ἐν ταῖς συνουσίαις ὡς συνετώτατος καὶ δεινὸς ἀνήρ, οὐ νοῆσαι μόνον, ἀλλὰ καὶ πεῖσαι λέγων, περὶ ὧν ἂν ἐπιχειρήσειε διδάσκειν τήν τε ἀριθμητικὴν αὐτοῖς χαρίζεται καὶ τὰ περὶ ἀστρονομίας παραδίδωσιν. οὗτοι δὲ γνωριμώτατοι διὰ σοφίαν ἐν πᾶσι γενόμενοι καὶ τὸν Ἑρμῆν, ὃν δὴ καὶ Τρισμέγιστον ὠνομάσθαι φασίν, ἄνδρα τῶν ἐν αὐτοῖς ἄκρων ἐν μαθηματικῇ, πολλούς τε σὺν ἐκείνῳ καὶ ἄλλους Αἰγύπτου παῖδας τοὺς κεκλημένους παρ᾿ ἐκείνοις προφήτας ἔσχον, οὐκ ἀθαύμαστον παρὰ πᾶσιν ἐπὶ παιδείᾳ λαχόντες ὄνομα, οἱ τὸ πρῶτον Ἀβραὰμ τῷ προπάτορι καὶ Χαλδαίῳ τῷ ὄντι σοφῷ μαθητεύσαντες. πρὸ γὰρ τῆς αὐτοῦ παρουσίας εἰς Αἴγυπτον τούτων ἀμαθῶς εἶχον φησίν.

Ἐκ Χαλδαίων δὲ ταῦτ᾿ ἐφοίτησεν εἰς Αἴγυπτον, ὅθεν ἦλθε καὶ εἰς τοὺς Ἕλληνας. Πυθαγόρας γὰρ [f. 230ᵛ] ὁ Μνησάρχου καὶ Σάμιος καὶ Φερεκύδης ὁ Σύριος καὶ Ἀναξαγόρας ὁ Ἡγησιβούλου ὁ Κλαζομένιος, ἔτι τε Θαλῆς ὁ Μιλήσιος καὶ Σόλων ὁ τῶν Ἀθήνησι νόμων εὑρετὴς καὶ μὲν καὶ Πλάτων ὁ τοῦ Ἀρίστωνος ἄχρι καὶ τῆς Αἰγυπτίων φιλομαθίας χάριν παρελθόντες καὶ παρ᾿ αὐτῶν διδαχθέντες τὴν μαθηματικὴν τοῖς ἄλλοις παραδεδώκεσαν ἐπιστήμην.

Καὶ δὴ πολλοὶ μὲν ἐν Ἕλλησι καὶ ἄλλοι γεγόνασι τὴν τοιαύτην εἰς ἄκρον ἐξασκήσαντες θεωρίαν καὶ Χαλδαίους πολλῷ τῷ μέσῳ καὶ Αἰγυπτίους ὑπερβαλόντες καὶ μάλιστα πάντων ὁ πάντων μάλιστα φιλόπονός τε καὶ φιλαλήθης ἀνὴρ Ἵππαρχος, ᾗ φησι Πτολεμαῖος, και μέντοι Πάππος τε καὶ Θέων, οἱ Πτολεμαϊκοὶ φάναι διάδοχοι. ὁ δὲ δὴ Κλαύδιος οὑτοσὶ Πτολεμαῖος καὶ Πτολεμαΐδος μὲν ἐκφὺς τῆς ἐν Θηβαΐδι καλουμένης Ἑρμείῳ, Αἰλίῳ δὲ Ἀντωνίνῳ βασιλεῖ Ῥωμαίων σύγχρονος γεγονώς, κατὰ πάντων τὰ πρῶτα φέρεται. πάσης μέν, ὡς

1 Σέλευκος ἀπό om. M. 4 τῆς περί M, corr. in marg. in τοῖς περί. 5 λογισάμενος V M. 13 ἐπιχειρήσεις M. 14 τά om. V M. 16 φασίν] φησί V M. τῶν] τόν V. ἄκρον V M. 18-19 λαχόντας V M. 22 καὶ ἐκ X. V M. δέ om. V M. ἐφοίτησαν V M. ἦλθεν εἰς U. 24 Ἡγεσιβούλου V M. 25 καί om. M. καὶ Σ.] ὁ Σ. V. 26 ἐφευρέτης V M. καί (post ἄχρι) om. V M. Αἰγύπτου V M. 30 ἐξησκήσαντες V M. 31 ὑπερβάλλοντες V M. 32 ᾗ] ὥς V M. 33 φάναι corr. V M in marg. in φανοί. 35 Ἑρμείου R V M, corr. U. Ἀντωνίῳ corr. V M in marg. in Ἀντωνίνῳ.

αὐτὸς γράφων ἐν πρώτοις παραδηλοῖ, μαθηματικῆς θεωρίας ἐπιμεληθείς, ἐξαιρέτως δὲ τῆς περὶ τὰ θεῖα κατανοουμένης καὶ τὰ οὐράνια καὶ ταὐτὸν ἐν τρισὶ καὶ δέκα τοῖς τῆς Μαθηματικῆς καὶ Μεγάλης Συντάξεως κάλλιστά τε καὶ ὑψηλότατα παραδοὺς βιβλίοις καὶ μὴν καὶ μετὰ τοσῆσδε τῶν ὀνομάτων εὐγενείας καὶ χάριτος καὶ ῥυθμοῦ καὶ τόνου ὡς ὑπερβάλλειν σχεδὸν τοὺς ὁρμωμένους ἐντεῦθεν καὶ γλώττης μόνον ἀττικιζούσης δοκεῖν φροντίζειν. ἣ δὴ καὶ μεγάλη καλεῖσθαι μόνη τῶν ἁπασῶν ἐκληρώσατο διά τε τὴν σεμνότητα καὶ τάξίωμα τῶν ὑψηλῶν καὶ μεγάλων λόγων τῶν ἐν αὐτῇ περὶ τὴν κατ᾽ οὐρανον θεωρίαν ἔχουσα τὸν σκοπόν. περιέχει γὰρ ἐν μὲν τοῖς πρώτοις δυσὶ βιβλίοις τήν τε καθόλου τῆς γῆς ὅλης σχέσιν πρὸς ὅλον τὸν οὐρανὸν καὶ τὸν λόγον τὸν περὶ τῆς τοῦ λοξοῦ κύκλου θέσεως καὶ τῶν τόπων τῆς καθ᾽ ἡμᾶς οἰκουμένης, ἔτι τε τῆς πρὸς ἀλλήλους αὐτῶν καθ᾽ ἕκαστον ὁρίζοντα παρὰ τὰς ἐγκλίσεις γινομένης ἐν ταῖς τάξεσι διαφορᾶς. ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τὴν ἡλιακὴν κίνησιν, ἐν δὲ τῷ τετάρτῳ καὶ πέμπτῳ τὴν σεληνιακήν, ἐν δὲ τῷ ἕκτῳ τὰ ταύταις ἐπισυμβαίνοντα, συνοδικάς τέ φημι καὶ πανσεληνιακὰς συζυγίας καὶ τοὺς ἄλλους, οὓς πρὸς τὸν Ἥλιον ἡ Σελήνη ποιεῖται σχηματισμούς, ἔτι γε μὴν καὶ τὰς ἐκλειπτικὰς φαντασίας τε καὶ παθήματα, ἐν δὲ τῷ ἑβδόμῳ καὶ ὀγδόῳ τὰ περὶ τῆς τῶν ἀπλανῶν καλουμένων σφαίρας, ἐν δὲ τοῖς λοιποῖς πέντε βιβλίοις τὰ περὶ τῶν πέντε πλανήτων προσαγορευομένων. ἕκαστα δὲ τούτων, ὥς φησιν ἐν τῷ τοῦ πρώτου δευτέρῳ, δείκνυσιν ὁ σοφὸς Πτολεμαῖος, ἀρχαῖς μὲν καὶ ὥσπερ θεμελίοις εις τὴν ἀνεύρεσιν χρώμενος τοῖς ἐναργέσι φαινομένοις καὶ ταῖς ἀδιστάκτοις τῶν τε πρὸ ἐκείνου καὶ των κατ᾽ ἐκεῖνον τηρήσεων. τὰς δ᾽ ἐφεξῆς τῶν καταλήψεων ἐφαρμόζων διὰ τῶν ἐν ταῖς γραμμικαῖς ἐφόδοις ἀποδείξεων.

Κεφάλαιον δεύτερον. Περὶ πολλαπλασιασμῶν μοιρῶν τε καὶ ζῳδίων εἴτ᾽ οὖν ὅλων καὶ μορίων.

Πρῶτον εἰπεῖν ὅτι τὸν ζῳδιακὸν καὶ λοξὸν καλούμενον κύκλον, μέγιστον ἐν τῇ οὐρανίῳ καθόλου τυγχάνοντα σφαίρᾳ...

[F. 350.] Τοῦ μεγάλου σακελλαρίου καὶ διδασκάλου τῶν διδασκάλων καὶ ἀρχιδιακόνου τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου Θεοδώρου τοῦ Μελιτηνιώτου ἀστρονομικῆς τριβίβλου ἡ τρίτη ἣ ψηφοφοριῶν κατὰ Πέρσας διάταξις.

Τριάδος τῆς μακαρίας, παντοδυνάμου τε καὶ ἁγίας καὶ ζωαρχικῆς, λέγω Πατρός <και> Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς θεότητός τε

1-2 ἐπιμεληθεὶς θεωρίας VM. 2 δὲ τῆς] δὲ καὶ τῆς VM. 3 ταὐτόν] ταύτην RVM. 3-4 συνάξεως M. 4 παραδιδούς VM. βίβλοις VM. καί (post μήν) om. V. καὶ μετὰ] περί M. 6 μόνης VM. 10 ἔχουσαν V. π. μὲν γάρ VM. 12 τὸν τόπον corr. VM in marg. in τῶν τόπων. 14 γενομένης VM. 17-18 ἡ Σελήνη] ἢ Σελήνην VM. 19 τε om. VM. καὶ τὰ παθ. VM. 23 ἀνεύρησιν V. 25 τάς δέ VM. 26 Desin. VM. 36 καί add. U.

καὶ βασιλείας, παρ' ἧς ἅπαν δώρημα τέλειον ἀγαθή τε δόσις ὡς τῶν λογίων ἀκούομεν ἄνωθεν κάτεισι τοῦ παρόντος ἔργου συνεφαπτομένης ἡμῖν καὶ πλείστην ὅσην δωρουμένης ἐπικουρίαν, ἐν μὲν τῇ πρώτῃ τῆς ἀστρονομικῆς τριβίβλου τὴν τῶν ψηφοφοριῶν εἰσαγωγὴν διαγράψαντες, ἐν δὲ τῇ δευτέρᾳ τὰς τῆς Μαθηματικῆς καὶ Μεγάλης Συντάξεως ψηφοφορίας δι' ἀκριβείας ὡς ἐνῆν ἐφοδεύσαντες, ἅμ' αὐταῖς καὶ τὰς τῶν προχείρων δι' ὑποδειγμάτων ἐκθέμενοι καὶ τὴν τούτων συμφωνίαν ἀκριβῶς ὑποδείξαντες, ἐνταῦθα, ἐν τῇ τρίτῃ δηλαδὴ καὶ λοιπῇ τῶν ὑποκειμένων, τὰς τῶν Περσικῶν προχείρων κανόνων ψηφοφορίας προήχθημεν ἀνατάξασθαι ἤδη μὲν καὶ ἄλλοις ἐσπουδασμένας, πλείονος δὲ ὅμως δεομένας τῆς σαφηνείας καὶ μάλιστα τῷ μὴ κατὰ τὴν προσήκουσαν αὐταῖς ἑρμηνείαν καθ' Ἕλληνας ἐκδεδόσθαι· ἃς ἡμεῖς ὡς ἂν οἷοί τε ὦμεν ἐκθεῖναι σαφῶς πειρασόμεθα.

Καὶ δὴ καὶ τὰς τῶν κανόνων ἐπιγραφὰς ἐπιγράψομεν ἀκολούθως τοῖς ἡμετέροις. δεῖ τοιγαροῦν προεκθέσθαι ταύτης τὴν τῶν κεφαλαίων ἔκθεσιν, ἀκριβῆ ταύτην ἐχούσης ἐπιγραφήν· Ἀστρονομικῆς τριβίβλου ἡ τρίτη ἢ ψηφοφοριῶν κατὰ Πέρσας διάταξις. ἔνεστι δ' ἐν τῷ συντάγματι τάδε.

Ἔκθεσις τῶν κεφαλαίων. Κεφάλαιον πρῶτον. Προδιάληψις ὁλοσχερὴς τῶν ὀφειλόντων προϋποκεῖσθαι.

Κεφάλαιον δεύτερον. Ἔκθεσις τῶν κατὰ Πέρσας προχείρων τῆς ἀστρονομίας κανόνων.

Κεφάλαιον τρίτον. Περὶ τῶν δ' κέντρων ἤτοι περσικῶν ἁπλῶν ἐτῶν τῶν τοῦ ἰνδικτιῶνος τε ἡμερῶν καὶ ἰσημερινῶν ὡρῶν ἀπὸ τῆς ἔγγιστα παρελθούσης μεσημβρίας καὶ μήκους τῆς ὑποκειμένης πόλεως.

Κεφάλαιον τέταρτον. Ὅτι καὶ δι' ἑτέρας ἐφόδου τά τε ἁπλᾶ Περσικὰ ἔτη καὶ τοῦ μηνὸς τὰς ἡμέρας ἔστιν ἀνευρίσκειν.

Κεφάλαιον πέμπτον. Περὶ τῆς κατὰ μῆκος τοῦ Ἡλίου ψηφοφορίας.

Κεφάλαιον ἕκτον. Ὅτι οὐ δεῖ τὴν τῶν ὡρῶν διάκρισιν ποιεῖσθαι ὡς προδιακεκριμένων.

Κεφάλαιον ἕβδομον. Περὶ τῆς κατὰ μῆκος σεληνιακῆς ψηφοφορίας.

Κεφάλαιον ὄγδοον. Περὶ τῆς διορθώσεως τῶν ἐποχῶν Ἡλίου καὶ Σελήνης.

Κεφάλαιον ἔνατον. Περὶ τῆς τοῦ Ἡλίου λοξώσεως.

Κεφάλαιον δέκατον. Ψηφοφορία τῶν ἐκλειπτικῶν συνδέσμων τοῦ τε Ἀναβιβάζοντος καὶ τοῦ Καταβιβάζοντος.

Κεφάλαιον ἑνδέκατον. Περὶ τοῦ πλάτους τῆς Σελήνης.

Κεφάλαιον δωδέκατον. Περὶ τῆς τῶν πέντε πλανωμένων κατὰ μῆκος ψηφοφορίας.

15 ταύτης] ταύτην R, corr. U. 17 ψηφιφοριῶν R.

Κεφάλαιον τρίτον καὶ δέκατον. Περὶ τῶν κατὰ πλάτος ἀπὸ τοῦ διὰ μέσων τῶν ζῳδίων ἀποστάσεως τῶν τριῶν πλανωμένων Κρόνου, Διὸς καὶ Ἄρεως.

Κεφάλαιον τέταρτον καὶ δέκατον. Περὶ τοῦ πλάτους Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ.

Κεφάλαιον πέμπτον καὶ δέκατον. Ψηφοφορία τοῦ Κάϊτ, ἀστέρος κακοποιοῦ παρ' Ἰνδοῖς.

Κεφάλαιον ἕκτον καὶ δέκατον. Περὶ τῶν κατὰ μῆκος καὶ πλάτος ἐποχῶν τῶν ἀπλανῶν ἀστέρων.

Κεφάλαιον ἕβδομον καὶ δέκατον. Περὶ συνόδων καὶ πανσελήνων.

Κεφάλαιον ὄγδοον καὶ δέκατον. Περὶ τῶν ἐκλειπτικῶν ὡρῶν Ἡλίου καὶ Σελήνης.

Κεφάλαιον ἔνατον καὶ δέκατον. Περὶ σεληνιακῶν ἐκλείψεων.

Κεφάλαιον εἰκοστόν. Περὶ ἡλιακῶν ἐκλείψεων.

Κεφάλαιον πρῶτον καὶ εἰκοστόν. Περὶ τῆς ἀπὸ ζῳδίου εἰς ζῴδιον μεταβάσεως Ἡλίου καὶ Σελήνης καὶ τῶν λοιπῶν πλανωμένων καὶ ἔτι τοῦ Ἀναβιβάζοντος.

Κεφάλαιον δεύτερον καὶ εἰκοστόν. Ἔφοδος δι' ἧς ἔστι παραυξάνειν τοὺς τῶν ὁμαλῶν κινήσεων τῶν ἀστέρων κανόνας τῶν ἁπλῶν ἐτῶν.

Κεφάλαιον τρῖτον καὶ εἰκοστόν. Παράδοσις πῶς ἔστιν εὑρίσκειν ἑκάστου ὁποιουοῦν μηνὸς τὴν προκειμένην ἡμέραν, εἰς ποίαν τῶν τῆς ἑβδομάδος ἡμερῶν καταλήγει.

Κεφάλαιον τέταρτον καὶ εἰκοστόν. Μέθοδοι εἰς τὴν τοῦ σεβασμίου πάσχα καὶ μεγάλου κατάληψιν.

Κεφάλαιον πέμπτον καὶ εἰκοστόν. Ἐπίλογος.

[F. 350v.] Κεφάλαιον πρῶτον. Προδιάληψις ὁλοσχερὴς τῶν ὀφειλόντων προϋποκεῖσθαι.

Περὶ τῶν κατὰ τὸ κεφαλαιῶδες ὀφειλόντων προδιαληφθῆναι χρὴ προδιαλαβεῖν. τὰ δ' ἐστὶν ὅτι Πέρσαι τε καὶ πρὸ τούτων Ἄραβες παρ' Ἑλλήνων καὶ τῆς τοῦ θαυμαστοῦ Πτολεμαίου βίβλου τὴν περὶ τὰ θεῖα κατανοουμένην καὶ τὰ οὐράνια θεωρίαν διαδεξάμενοι, ταὐτὸν δ' εἰπεῖν, καὶ τὰ τῶν μαθημάτων λοιπὰ καὶ τοῦτο Πέρσαι φασὶ καὶ Ἄραβες μετὰ θαύματος τοῦ ἀνδρὸς μεμνημένοι τὴν ἐκείνου τε βίβλον ἀποσεμνύνοντες, μυζαστῆ[1] καλοῦντες αὐτὴν καὶ πολλὰ τῶν ταύτης καὶ σχεδὸν τὰ πάντα ταῖς σφῶν βίβλοις ἐγκαταμιγνύντες, θαυμαστοὶ τὰ

34-85 Ἄρραβες R, corr. U.

[1] Μυζαστῆ i. e. *migisti* vel *migasti*, unde occidentales *almagestum* effecere. [Gildemeister.]

εἰς ἐπιστήμην γεγόνασι. καὶ δὴ καὶ πλεῖστα συγγράμματα ταύτης πέρι πεποίηνται καὶ διαφόρους κανόνας τοὺς τῶν ἀστέρων παρόδων τούτους ἔν τε διαφόρων πόλεων μεσημβρινοῖς συστησάμενοι καὶ χρονικῶν ἀρχῶν παραδόσεσιν, ὧν καί τισι περιτετυχήκαμεν ἤδη, πρὸς τὴν ἡμετέραν γλῶτταν μετενηνεγμένοις σοφῶς ἄγαν ἐκτεθειμένοις. Πατανῆς[1] μὲν γάρ τις τῶν παρ' αὐτοῖς ἀστρολόγων, ἔτι τε Σάμψ Μπουχαρῆς[2] ὕστερον τὴν τῶν χρόνων ἐποχὴν τῶν ἰδίων κανόνων εἰς τὴν ἀρχὴν τῆς βασιλείας Ἀλεξάνδρου, τρίτου ἀπ' Ἀλεξάνδρου τοῦ μεγάλου Μακεδόνων βασιλέως, πεποίηνται καὶ τοὺς μὲν ἐξ ἐκείνου χρόνους Ῥωμαϊκούς. τὴν δὲ περὶ τούτων βίβλον Ζῆζι[3], τουτέστι Σύνταξιν, ὀνομάζουσιν. ὁ δέ γε Σαντζαρῆς[4] ἀστρολόγος ἀνήρ, ἀλλὰ δὴ καὶ ὁ Ἀβδουραχμάνης ὁ Χωζηνὴς κατ' ἐκεῖνον δὴ τὸν χρόνον τὰς ἀρχὰς ὑποτίθενται τῆς τῶν ἀστέρων κινήσεως, ὅτε Μωάμεδ, ὁ ἀσεβὴς καὶ θεομισὴς ἀπὸ τοῦ Μακᾶ πρὸς Μαδιηναίαν πεπόρευται καί εἰσιν Ἀραβικὰ τὰ ἐκεῖθεν συναγόμενα ἔτη. Ἀλῆ δὲ τῷ Ἀβδουλουκαρεὶμ[5] καὶ μὴν καὶ τῷ Ἀλαῆ[6], τῷ τε Χουσάμη Σαλὰρ[7] καὶ τῷ Ἰσαχῆ[8] σοφωτά-

2 κανόνας - παρόδων] U coni. κακόνας τὰς τῶν ἀστέρων παρόδους περιέχοντας. 6 Σάμ R, ψ add. man. ead. 12 ὁ Χωζηνής] Ὀχωζηνής U. 14 Ἀρράβια R, Ἀραβία U, Ἀραβικά Cum.

---

[1] Πατανῆς: Al Battânî vel ut vulgo audire solet Albategnius, cuius integrum nomen est Muhamad ibn Ǧabir ibn Sinān al-harrânî al-battânî, diem obiit a. heg. 317 (929 p. Ch.). Eius tabulas memorat Haǧi-Khalfa [G.]. Cf. Suter, *Die Mathematiker und Astronomen der Araber*, p. 45, n° 89, et *Catal.*, I, p. 88, n. 1.

[2] Shems ed-dîn el Bochârî, cf. *Catal.*, I, p. 85, et Suter, *op. cit.*, p. 161, n° 397, p. 219 ss.

[3] Arabice *ziǧ* translatum est persico *zig* est canon astronomi, cf. quae explicat Gildemeisterus *l. c.*

[4] Σαντζάρης perperam nomen scriptoris prodit Theodorus, cum sit titulus libri « el ziǧ el zinǧari » tabularum quas condidit ʿAbderrahmān el Châzinî († 1186) et sultano Sinǧar b. Melikšāh ben Alp. Arslân dedicavit (cf. Gildemeisterum, *l. c.*, et Suter, *op. cit.*, p. 122, n° 293). Ex Sampsucharo, *Catal.*, I, p.89, n. 2, haec habet Theodorus.

[5] Farîd ed dîn Abû 'l Ḥasan Alî ben ʿAbdelkerîm el Sirwânî, quem tabulam confecisse Haǧi Khalfa testatur (n. 6957) [G.]. Cf. Suter, *op. cit.*, p. 218, et *Catal.*, I, p. 89, 17.

[6] Ἀλαῆ iterum non scriptor sed titulus libri decurtatus est « alziǧ al ʿalâi », hoc est tabularum in honorem viri illustris alicuius Alā el-daulah editarum, quarum complures Haǧi Khalfa memorat... [G.]. Opus fuit hoc ʿAbdelkerîm supra memorati, cf *Catal.*, I, p. 89, 17.

[7] ʿAlî ben Faḍlallâh Ḥošam ed-dîn el Salar. qui saeculo duodecimo p. C. vixisse videtur; cf. Suter, *op. cit.*, p. 195, n° 482.

[8] Ἰσαχῆ adiectivum ad titulum alicuius libri referendum videtur, qualis fuerit « al-ziǧ al-išaqî » [G]. Opus fuit hoc Chosami el Salar, cf. *Catal.*, I, p. 89, n. 18.

τοις ἀνδράσι καὶ τῷ Φεχίρ[1], σύν γε δὴ τῷ Ἀθυρατὶν[2] καὶ τῷ Μαχχὶ Ματριπῆ[3] καὶ τῷ ΧοντΖὰ Νασύρῃ[4] πᾶσαν λογικὴν παιδείαν εἰς ἄκρον ἐξησκημένοις ἐν τοῖς οἰκείοις αὐτῶν κανόσιν, αἱ ἀρχαὶ τῶν ἐπιλογισμῶν ὑποτίθενται κατὰ τὸ πρῶτον ἔτος Ἰασδαγέρδου Σαριὰρ τοῦ Μεστρέ[5], βασιλέως Περσῶν, Περσικοῖς χρωμένοις τοῖς ἔτεσιν. ὅπερ δὴ ἔτος ἐστὶν ͵ϛρλθʹ ἀπὸ τῆς τοῦ πρώτου ἐνιαυτοῦ παραγωγῆς. καθ' ὃν χρόνον καὶ ἡ τῶν προκειμένων κανόνων σύστασις γέγονεν ἐν τῇ τοῦ κατὰ Πέρσας Φαρουαρτῆ μηνὸς νεομηνίᾳ εἰς τὴν ἐν τῇ Τυβήνῃ[6] λεγομένῃ πόλει μεσημβρίαν κατὰ μῆκος ἀπεχούσῃ οβʹ μοίρας ἀπὸ τοῦ ΝτΖαΐτ Χαλιλάτ[7], ὥς φασι Πέρσαι, τουτέστιν ἀπὸ τῆς δυτικῆς ἄκρας θαλάσσης. καὶ ὅτι κατὰ Πέρσας οἱ μῆνες οὕτω κατονομάΖονται Φαρουαρτής, Ἀρτιπεέστ, Χορτάτ, Τυρμά, Μερτάτ, Σαχριούρ, Μέχερμα, Ἀπάν, Ἄδερ, Δῆμα, Πεχμάν, Ἀσφαντάρ, Μασιαρχά, ὃς καὶ κλοπιμαῖος καλεῖται. ἔτι τε κατὰ Ῥωμαίους καὶ Ἕλληνας ὁ ἐνιαυτὸς τξεʹ ἡμερῶν ἐστι καὶ τετάρτου μέρους ἡμέρας, κατὰ δὲ Πέρσας, ὥσπερ δὴ καὶ κατ' Αἰγυπτίους, τξεʹ μόνων ἡμερῶν ἕκαστον μῆνα τῶν παρ' αὐτοῖς ἡμερῶν λογιΖομένους λʹ καὶ εʹ μόνον τὸν κλοπιμαῖον. ὡς ἐντεῦθεν ἀκολουθεῖν ἐξ ἀνάγκης κατὰ τέσσαρα ἔτη συντιθεμένων τῶν τοιούτων τεταρτημορίων τὸ τῶν Περσῶν τοῦ καθ' ἡμᾶς ἔτους ἐν ἡμέρᾳ προλαμβάνειν μιᾷ. κατὰ δὲ ͵αυξʹ ἐν ὁλοκλήρῳ Περσικῷ ἔτει καὶ πάλιν ἅμα τὴν τοῦ χρόνου

3 οἰκοίοις R, corr. U. 9 ἀπεχούσῃ] ἀπέχουσαν R, corr. U. 12 Ἀρτιπέσστ U.

---

[1] Φεχίρ decurtatum existimo esse nomen « Fachra ed dîn » duos eo nomine utrumque Naṣîr ed-dîn el Tûsî socium Hağî-Khalfa affert [G.]; cf. supra *Catal.*, I, p. 89, 20: infra n. 7.

[2] Aṯîr ed-dîn el Muffaḍḍal ben Omar el-Abahrî qui diem obiisse circa a. 1262 videtur; cf. Gildem., *l. c.*, et Suter, *op. cit.*, p, 245, nº 364.

[3] Sine dubio Moḥjî ed-dîn el Maghrebi (Jaḥjā ben Muhamed ben Abî 'l-Shukr); cf. Gildem.; Suter, p. 155, nº 376, et infra n. 8.

[4] Hoğa (magister) Naṣîr ed-dîn el Tûsî (Muhamed ben el Ḥasan), celeberrimus astronomiae auctor († a. 1273 p. C.) quo curam agente Hulagu, Mongolorum rex, turrem sideribus observandis aedificari iussit. Horum studiorum fructus in tabulas regis gratia « alzîg alil Khâni » dictas relati sunt, quarum summa fuit auctoritas [G.]. « *Zu den astronomen die an dieser Sternwarte unter Nasir ed-dins Leitung die Beobachtungen für die Herstellung der berühmten Ilchânischen Tafeln machten gehörten...* Fachr ed-dîn el-Chalâti; Fachr ed-dîn el-Merâgî [supra n. 5] *und der Spanier* Moḥjî ed-dîn el-Maghrebî [supra n. 7]. Suter, *op. cit.*, p. 147.

[5] Yazdajîrd ben Sharyâr ben Kisrâ Parwîz anno 632 p. C. n. rex Persarum factus. Μεστρὲ pro Κερσὲ scriptum esse videtur.

[6] Τυβήνη, si recte nomen interpretatus est Gildemeisterus, est urbs Tovîn vel Dōvîn in Armenia, sed canones libri 'alzîğ' alîlkhâni revera in urbe Merâgha condita sunt (Suter, p. 147). Haeremus.

[7] ΝτΖαΐτ Χαλιλάτ vel potius ντΖαὴρ Χαλιδάτ sunt ğazaïr Khālidât h. e. « insulae sempiternae » unde Arabes, ut a beatorum insulis Ptolemaeus, longitudinis gradus numerare plerumque solebant [G.].

ποιεῖν ἀρχὴν Πέρσας τε καὶ ἡμᾶς μετὰ δὲ παραδρομὴν τεσσάρων ἐνιαυτῶν αὖθις ἄρχεσθαι προλαμβάνειν ἡμέρᾳ μιᾷ τοὺς Πέρσας καὶ ἑξῆς πάλιν ἀκολούθως. γέγονε δὲ [f. 351] ἡ εἰρημένη διὰ ͵αυξ' ἐτῶν ἀποκατάστασις ἀπό τινος ἀρχῆς χρόνου πρὸ τζ' ἐτῶν τῆς ἀρχῆς τῆς τοῦ Ἰασδαγέρδου βασιλείας ὡς ἐκ τούτου πάλιν τοῦ χρόνου τὴν ἀρχὴν εἰληφέναι τοὺς Πέρσας κατὰ τέσσαρα ἔτη τῇ μιᾷ ἡμέρᾳ προλαμβάνειν ἡμῶν.

Περιέχουσι δὲ τῶν εἰρημένων τῶνδε κανόνων ὁ μὲν πρῶτος τοὺς τοῦ μήκους τε καὶ πλάτους τῶν πόλεων ἀριθμούς. οἱ δὲ μετ' αὐτὸν τὰς ὁμαλὰς παρόδους ἡλίου καὶ σελήνης καὶ ἔτι τοῦ Ἀναβιβάζοντος καὶ τῶν λοιπῶν πλανωμένων, ἐνιαυτῶν τε καὶ μηνῶν καὶ ἡμερῶν καὶ ὡρῶν καὶ τὰς διαφορὰς τοῦ μήκους τῶν πόλεων. οἱ δὲ ἐφεξῆς τούτων ἑκάστοις τὰς διὰ τῆς ψηφοφορίας τῶν κατὰ μῆκος παρόδων ἑκάστου τῶν πλανωμένων διακρίσεις, συνημμένοι δέ εἰσι τούτοις καὶ οἱ τὰς πλατικὰς κινήσεις αὐτῶν περιέχοντες. οἱ δὲ μετὰ τοὺς εἰρημένους κανόνας περιέχουσι τὴν τοῦ Κάϊτ [1], ἀστέρος κακοποιοῦ παρ' Ἰνδοῖς νομιζομένου, κίνησιν καὶ τῶν ἀπλανῶν ἀστέρων τὰς κατὰ μῆκος καὶ πλάτος ἐποχάς. τῶν δὲ ἐφεξῆς ἐκτεθειμένων κανονίων τὰ μὲν ἑπτὰ πρῶτα χρήσιμα ἔν τε συνόδοις καὶ πανσελήνοις τὰ δὲ μετ' ἐκεῖνα περιέχει τά τε μεγέθη καὶ τὰς ὥρας τῶν σεληνιακῶν ἐκλείψεων. οἱ δὲ τούτοις συνημμένοι κανόνες δύο περιέχουσι τήν τε τῶν ὡρῶν τῆς ὄψεως διόρθωσιν, δηλονότι τὴν ἀπὸ τῆς κατὰ μῆκος παραλλάξεως τῆς σελήνης καὶ τὰς πλατικὰς αὐτῆς παραλλάξεις ἐν τῷ καθ' ἡμᾶς κλίματι, τῷ διὰ τῆς βασιλίδος τῶν πόλεων, τῆς τοῦ Κωνσταντίνου μεγαλοπόλεως. τὰ δὲ λοιπὰ καὶ ἐπὶ πᾶσι κανόνια τέτακται τῶν ἡλιακῶν ἐκλείψεων ἕνεκεν καὶ τελευταῖον τό τε τῶν ὡρῶν τοῦ μήκους τῆς μεταβάσεως τοῦ ἡλίου καὶ τὸ τῶν ὡριαίων λεπτῶν καὶ μεθ' ὅλα τὸ τῆς τοῦ σεβασμίου καὶ μεγάλου πάσχα εὑρέσεως καὶ ἔστιν ἡ τῶν κανονίων ἔκθεσις τοιαύτη.

12 τὰς διαφοράς] τῆς διαφορᾶς R, corr. U. 22 ὄψεως] « sic cod., infra fol. 402ᵛ et 403ʳ inter tabulas eclipsium lunarium laterculi sunt, quibus inscribitur Κανόνιον διορθώσεως τῶν ὡρῶν τῆς κρύψεως τοῦ ἡλίου τουτέστι παράλλαξις τοῦ μήκους τῆς σελήνης ἤτοι τῆς ὄψεως » U. 25 ἐκλείψεων R, ἐκλείψειν U.

---

[1] « Kaïd », apud Arabes raro memoratum, non aliud esse videtur atque nodus lunaris descendens, quem vulgo caudam draconis vocant (Καταβιβάζων). Cf. Gildem., *l. c.*

ADDENDA ET CORRIGENDA

P. 8, f. 12. Ut ex excerptis meis video, hoc fragmentum finis libri Stephani philosophi (v. Cumont, *Catal.* II, p. 181) est. Cum mihi partem tantum huius excerpti descripserim neque photogramma usque hodie acceperim, haec pauca edere potui : καὶ παραυτίκα νιφετῶν γινομένων καὶ ἐπιχωννυμένης τῆς χιόνος <ἐπὶ> τὸν κεκαυμένον τόπον ἔχιδναι καὶ ἀσπίδες γεννῶνται. καὶ ἄλλων δὲ ζῴων οὐκ εὐαριθμήτων αὐτόματος ἡ γένεσις, ἃ ἀπαριθμεῖν δύσεργόν ἐστιν μήτοι γε καὶ γράφειν. οὐ μόνον δὲ ταῦτα καὶ τὰ τοιαῦτα ζῷα τοιαύτην ἔσχον καὶ ἔχουσι γένεσιν, ἀλλὰ καὶ πᾶν εἶδος ἐπὶ τῆς γῆς διὰ σήψεως γέγονε καὶ πεποίηται πρὸς τὰς τῶν γενῶν διαφορὰς κατὰ τὴν ἀστρομοιρικὴν θέσιν ...... ταῦτα νῦν διὰ βραχέων ὑπεδείξαμεν διὰ τοὺς εἰς τοιαῦτα ἀμφισβητοῦντας, τοῦτο σαφῶς ἐπιστάμενοι, ὅτι ἡ τελεία γνῶσις καὶ ἀληθεστάτη τοῦ Θεοῦ καὶ μόνου ἐστίν, ἄνθρωποι δὲ διὰ στοιχείων καὶ ἀστέρων τεκμαιρόμενοι ἐκ μέρος γινώσκουσι καὶ ἐκ μέρους προλέγουσι. Spero me photogramma nactum brevi hoc capitulum alio loco edere posse.

P. 34, f. 104. Ζωροάστρου. Legendum est Paris. 2417, f. 35 et 176v.

P. 76. De Dionysii ad Philippum epistula conf. H. Diels, *Elementum*, p. 61 sq.

INDEX CODICUM

Consensus Numerorum.

Vaticani	175	=	cod.	16
»	216	=	»	17
»	662	=	»	18
»	1048	=	»	19
»	1056	=	»	20
»	1059	=	»	21
»	1314	=	»	22
»	1347	=	»	23
»	1379	=	»	24
»	1384	=	»	25

S(criptores) P(ossessores) codicum.

Albertus Pius, cod. 22 (P.), cf. p. 70.
Catrarius Johannes, cod. 16 (S.), cf. p. 4.
Chortasmenus Johannes, cod. 21 (S.), cf. p. 64.
Chrysococes, cod. 23 (S.), cf. p. 71.
Cotrones v. Catrarius.
Philelphus, cod. 23 (P.), cf. p. 71.
Ursinus Fulvius, cod. 22 (P.), cf. p. 70.
cod. 23 (S. et P.), cf. p. 71.
cod. 24 (P.), cf. p. 71.
cod. 25 (P.), cf. p. 72.

Annorum notae in codicibus obviae.

A. 618	=	cod.	21	(f. 523)
A. 1156	=	»	20	(f. 30ʳ)
A. 1161	=	»	20	(f. 31)

A. 1322	=	cod.	16 (f. 158v)
A. 1337	=	»	16 (f. 1)
A. 1342	=	»	17
A. 1346 sq.	=	»	21 (f. 315)
A. 1378	=	»	21 (f. 512)
A. 1409 sqq.	=	»	21 (f. 11v)
A. 1466	=	»	25 (f. 76v)

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium. Adn. = adnotatio, app. = apparatus criticus.

I. NOMINA AUCTORUM

II. NOMINA CETERA

INDEX GRAMMATICUS

VOCABULA RARIORA VEL NOVA. GRAMMATICA NOTABILIORA

TABULA ARGUMENTI

CATALOGUS CODICUM

APPENDIX


Excerptum ex codice 17 (Vatic. gr. 216)

Excerpta ex codice 20 (Vatic. gr. 1056)

Excerpta ex codice 21 (Vatic. gr. 1059)

INDICES

BRUXELLES. — IMP. POLLEUNIS ET CEUTERICK, 37, RUE DES URSULINES,
DREESEN ET DE SMET, SUCCESSEURS.




UNIVERSITY OF MICHIGAN
3 9015 05448 9854

